UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

8. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

πολλαί, τὰϲ προέηκεν Ἰηϲονίδηϲ Εὔνηοϲ,
τόν ῥ᾽ ἔτεχ᾽ Ὑψιπύλη ὑπ᾽ Ἰήϲονι, ποιμένι λαῶν.
χωρὶϲ δ᾽ Ἀτρεΐδηϲ, Ἀγαμέμνονι καὶ Μενελάῳ,
δῶκεν Ἰηϲονίδηϲ ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθεν ἄρ᾽ οἰνίζοντο κάρη κομόωντεϲ Ἀχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι ϲιδήρῳ,
ἄλλοι δὲ ῥινοῖϲ, ἄλλοι δ᾽ αὐτῇϲι βόεϲϲιν,
ἄλλοι δ᾽ ἀνδραπόδεϲϲι· τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντεϲ Ἀχαιοὶ
δαίνυντο, Τρῶεϲ δὲ κατὰ πτόλιν ἠδ᾽ ἐπίκουροι·
παννύχιοϲ δέ ϲφιν κακὰ μήδετο μητίετα Ζεὺϲ
ϲμερδαλέα κτυπέων· τοὺϲ δὲ χλωρὸν δέοϲ ᾕρει·
οἶνον δ᾽ ἐκ δεπάων χαμάδιϲ χέον, οὐδέ τιϲ ἔτλη
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
κοιμήϲαντ᾽ ἄρ᾽ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

---

# ΙΛΙΑΔΟϹ Θ.

Ἠὼϲ μὲν κροκόπεπλοϲ ἐκίδνατο πᾶϲαν ἐπ᾽ αἶαν,
Ζεὺϲ δὲ θεῶν ἀγορὴν ποιήϲατο τερπικέραυνοϲ

---

V. L. 470 ἀτρείδηϲ᾽ DEGHL. — 472 ἔνθεν: ἔνθ᾽ D Et. Gud. 603, 17. ἆρ DEGL. ἀρ A. κάρη κομόωντεϲ AH, ut 459. — 474 δὲ: δ᾽ ἐν G Mor. Barocc., conf. H. U. 60. ῥηνοῖϲ D. αὐτῇϲι ADEGHL: αὐτοῖϲι C Bekk. An. 834, 13. Maxim. Tyrius Diss. XXXIX, 1. Philemo 233, 20. Eust. 1012, 33. βόεϲϲι C. — 475 ἀνδραπόδοιϲ Et. Mg. 146, 45. — 476 κάρη κομόωντεϲ AH. — 477 τρῷεϲ L. — 478 παννύχιον Schol. Θ 2. ϲφι DG Schol. Θ 2. — 482 κοιμίϲϲαντ᾽ L. ἆρ DEGL. ἀρ A.

---

A. c. 474 ἀυτῇϲι Aristarchus, conf. Aristonicum. — 475 ἀθετεῖται Aristonicus. ἡ τῶν ἀνδραπόδων λέξιϲ νεωτερική ἐϲτι κατὰ τοὺϲ παλαιούϲ. διὸ καὶ Ἀριϲτοφάνηϲ καὶ Ζηνόδοτοϲ ἠθέτουν τὸ ἔποϲ, ἐν ᾧ κεῖται ἡ λέξιϲ αὕτη Eust. 692, 21. ἀνδραπόδεϲϲι: ἀρίϲταρχοϲ διὰ τοῦ ο ἀνδραπόδοιϲι Didymus. τινὲϲ δὲ ἀνδραπόδοιϲι γράφουϲιν Eust. 692, 24. — 481 πρὶν πιέειν: ἀρίϲταρχοϲ πιέμεναι πρὶν λείψω (sic) Didymus. — 482 Ζηνόδοτοϲ καὶ τοῦτον καὶ τὸν πρῶτον τῆϲ ἑξῆϲ ῥαψῳδίαϲ ἦρκε ϲτίχον Schol. AB.

---

A. c. 1 Ζηνόδοτοϲ μετατίθηϲι τὴν ἀνατολὴν κάτω πρὸϲ τὸ „οἱ δ᾽ ἄρα δεῖπνον ἕλοντο“ (53) Aristonicus, conf. Schol. ad Θ 53 et Düntzer. Zenod. p. 154.

ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
αὐτὸς δέ σφ᾽ ἀγόρευε, θεοὶ δ᾽ ὑπὸ πάντες ἄκουον·
κέκλυτέ μευ πάντές τε θεοὶ πᾶσαί τε θέαιναι·
[ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.]
μήτέ τις οὖν θήλεια θεὸς τό γε μήτέ τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ᾽ ἅμα πάντες
αἰνεῖτ᾽, ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ᾽ ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπον δέ·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
τῆλε μάλ᾽, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
τόσσον ἔνερθ᾽ Ἀΐδεω, ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης·
γνώσετ᾽ ἔπειθ᾽, ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ᾽ ἄγε πειρήσασθε θεοί, ἵνα εἴδετε πάντες·
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες δ᾽ ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ᾽ οὐκ ἂν ἐρύσαιτ᾽ ἐξ οὐρανόθεν πεδίον δὲ
Ζῆν᾽, ὕπατον μήστωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ᾽ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ·

V. L. 4 ὑπὸ ACEG Barocc. Mor. Harl. Lips. Vrat. b. A. Mosc. 1. ὕπο DHL: ἅμα S. ἤκουον DL. — 5 πάντές τε A. πάντες τὲ C. πάντες θεοὶ DG. — 6 omitt. AD, qui habet in marg. man. recent. scriptum. — 7 μήτέ τις οὖν AEH Apoll. de Synt. 25, 19. μήτε τῖς οὖν C. τόγε libri mei praeter L, in quo abest τόγε, cum Apoll. de Synt. 25, 19. Lucian. 44, 6: τόδε Schol. C 514. Maxim. Tyr. Diss. XXXII, 7. μήτέ τις CEH Apoll. de Synt. 25, 19. — 11 δαναοῖσι ACDEGL. — 12 κατα A. οὔλυμπον δὲ A. — 13 ἤ μιν L. ἥ μὶν DG. ἐς: εἰς E. — 14 ἧχι AEH Plato Phaed. 112 A. Et. Mg. 188, 7. — 16 ἔνερθ᾽ ἀΐδαο Plutarchus de Facie in orb. lunae 25. ὅσσον G. οὐρανὸς ἔστ᾽ ACL. — 17 γνώσσετ᾽ G. ὅσσον G. κράτιστος CG. — 18 εἴ δ᾽ L. πειρήσεσθε Rhet. Gr. III, 144, 25. εἰδῆτε Townl. — 19 χρυσείην ἐτ G. ἐξουρανόθεν A. — 20 πάντες τ᾽ C. — 21 ἂν: ἄν μ᾽ S Mosc. 1. ἐρύσητ᾽ G. πεδίον δὲ A. — 22 μήστωρ᾽: πάντων Aristoteles περὶ ζώων κινήσεως 4. κάμητε HL Vrat. b. γρ. καὶ πάθοιτε A. — 23 ἀλλ᾽ ὅτε κεν Pseudoplut. 125, 27. ἐρύσαι G. ἐρῦσσαι H. — 24 αὐτῆι κεν θαλάσσηι D.

A. c. 7 θεὸς: ἀρίσταρχος θεῶν Didymus. — 10 ἀπάνευθε: ἐν τῇ ἀριστοφάνους ἀπάτερθε, Ζηνόδοτος μετόπισθε Didymus. — 23 πρόφρων: πρόσσω Ptolemaeus Oroandae. ἐθέλοιμι: ἀρίσταρχος ἐθέλωμι Didymus.

ϲειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δηϲαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
τόϲϲον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ
μῦθον ἀγαϲϲάμενοι· μάλα γὰρ κρατερῶϲ ἀγόρευϲεν.
ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εὖ νυ καὶ ἡμεῖϲ ἴδμεν ὅ τοι ϲθένοϲ οὐκ ἐπιεικτόν·
ἀλλ' ἔμπηϲ Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται.
ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', ὡϲ ϲὺ κελεύειϲ·
βουλὴν δ' Ἀργείοιϲ ὑποθηϲόμεθ', ἥ τιϲ ὀνήϲει,
ὡϲ μὴ πάντεϲ ὄλωνται ὀδυϲϲαμένοιο τεοῖο.
τὴν δ' ἐπιμειδήϲαϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
θάρϲει τριτογένεια, φίλον τέκοϲ· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιοϲ εἶναι.
ὣϲ εἰπὼν ὑπ' ὄχεϲφι τιτύϲκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυϲέῃϲιν ἐθείρῃϲιν κομόωντε,
χρυϲὸν δ' αὐτὸϲ ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάϲθλην
χρυϲείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήϲετο δίφρου.
μάϲτιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀέκοντε πετέϲθην

---

V. l. 25 περὶῤῥῖον C. περὶ^ρ^ρίον D. περϊῤῥῖον H. περὶῤῥίον S. περὶ ῥύον L. — 26 τὰ δέ κ' αὖθι Pseudoplut. 125, 27. μετήιορα C. — 27 ὅϲϲον Pseudoplut. 131, 12. εἰμι et εἰμ' A. — 28 ὡϲ A. οἵδ' CGL. ἄρ S. ἀκῆν G. — 29 ἀγόρευϲεν ACGHS Cant. Mor. Vrat. b. c. Mosc. 1. 3. ἀγόρευε D. ἀγόρευεν L. — 32 εὖ νῦν G. ὅτι ϲθένοϲ G. — 34 οἵ κεν C et man. rec. γρ. εἰ. — 35 ὡϲ ϲὺ AL Vrat. b. εἰ ϲὺ DEGHS. ἡ ϲὺ C. — 37 ὄλονται L. ὀδυϲϲομένοιο L Vrat. b. A. — 38 νεφεληγερέτα A. — 39 οὐ νύ τὶ DHL. οὐ νύ τοι E. οὔ τοι θυμῷ G. — 40 ἤπιοϲ DG. — 41 ὡϲ A. ὑπόχεϲφι DH. τϋτῖϲκετο H. — 42 χρυϲείῃϲιν ἐθείρῃϲι κομόωνται D. χρυϲείῃϲιν ἐθείρῃϲι E. κομόωντ^ε^αϲ L. 44 ἐΰτυκτον C. ἐπεβῄϲετο CDS Cant. Mor. ἐπϊβήϲετο H. ἐπεβήϲ^α^ετο A. ἐπεβήϲατο GL. — 45 μάϲτιξέν τ' S Cant. ἐλάᾳν G. * ἀέκοντε: libri ἄκοντε.

---

A. c. 25, 26 Ζηνόδοτοϲ ἀμφοτέρουϲ ἠθέτηκεν Aristonicus. — 28—40 ἀθετοῦνται ϲτίχοι ιγ' ὅτι ἐξ ἄλλων τόπων μετάκεινται Aristonicus. — 29 ἀγαϲϲάμενοι: γράφεται καὶ φραϲϲάμενοι· μᾶλλον δὲ τὸ ἀγαϲϲάμενοι τοῖϲ ἑξῆϲ ϲυνᾴδει Schol. A, conf. Schol. Ι 694. — 32—34 asterisci: ὀρθῶϲ 463—465. in codice versibus 28—34 asterisci sunt adpicti. — 35 ὡϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ εἰ ϲὺ κελεύειϲ Didymus. — 37 οὐδὲ ἐν τῇ Ζηνοδότου ἐφέρετο (Cod. δὲ ὁ φέρων) Didymus. — 39, 40 asterisci: ὀρθῶϲ X 183, 184.

μεϲϲηγὺϲ γαίηϲ τε καὶ οὐρανοῦ ἀϲτερόεντοϲ.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
Γάργαρον· ἔνθα δέ οἱ τέμενοϲ βωμόϲ τε θυήειϲ.
ἔνθ' ἵππουϲ ἔϲτηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε
λύϲαϲ ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν.
αὐτὸϲ δ' ἐν κορυφῆϲι καθέζετο κύδεϊ γαίων,
εἰϲορόων Τρώων τε πόλιν καὶ νῆαϲ Ἀχαιῶν.
οἱ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομόωντεϲ Ἀχαιοὶ
ῥίμφα κατὰ κλιϲίαϲ, ἀπὸ δ' αὐτοῦ θωρήϲϲοντο·
Τρῶεϲ δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο,
παυρότεροι· μέμαϲαν δὲ καὶ ὧϲ ὑϲμῖνι μάχεϲθαι,
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶϲαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔϲϲυτο λαόϲ,
πεζοί θ' ἱππῆέϲ τε· πολὺϲ δ' ὀρυμαγδὸϲ ὀρώρει.
οἱ δ' ὅτε δή ῥ' ἐϲ χῶρον ἕνα ξυνιόντεϲ ἵκοντο,
ϲύν ῥ' ἔβαλον ῥινούϲ, ϲὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀϲπίδεϲ ὀμφαλόεϲϲαι
ἔπληντ' ἀλλήλῃϲι, πολὺϲ δ' ὀρυμαγδὸϲ ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
ὄφρα μὲν ἠὼϲ ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόϲ.
ἦμοϲ δ' ἠέλιοϲ μέϲον οὐρανὸν ἀμφιβεβήκει,

---

V. l. 47 ἵκανε DEG Schol. Ξ 283. πολλυπίδακα G. — 48 ἔνθα δέ ADGHLS Schol Γ 320. Cram. An. Ox. II, 329, 4: ἔνθα τέ C. — 50 λύϲαϲ δ' H. ἐξοχέων D. κατὰ ACE: περὶ GHLS Cant. Barocc. Harl. Vrat. b. Mosc. 1. περι D, conf. Ε 776, ubi omnes περὶ exhibent. πολὺν D 1. man. G. πολλὴν C. — 52 τρῴων L. — 53 οἵδ' CGL. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 54 κατα D. ἀπο A. — 55 τρῷεϲ L. αὖθ' ACD EHLS Harl. Townl. Vrat. b. αὖ G. ὡπλίζοντο libri mei cum Eust. — 56 ὧϲ: libri ὥϲ. A ὡϲ. ὑϲμίνῃ DGL. — 57 καὶ προ D. — 59 θ' omitt. Cant. ὀρυγμαδὸϲ C 1. man. GH. — 60 οἳ δ' L. οἵδ' CH. δὴ ἐϲ D. ἵκοντο: ἵκανον L. γρ. ἵκανον A. γρ. καὶ ἵκανον Mosc. 1. — 61 ῥηνοὺϲ D. ϲυν δ' D. — 62 χαλκεοθωρήκων A. αὐτὰρ CDG. — 63 ἔμπληντ' Mosc. 3. ἀλλήλοιϲι Cant. ὀρυγμαδὸϲ CD post ras. GH. — 64 ἔνθ' ἅμα οἰμωγή G Ammon. de Diff. s. v. ἅμα. ἔνθ' ἅμ' C, conf. Δ 450. ἔνθ' ἄρα L. — 65 τὲ καὶ AC. τε omitt. Ammon. l. l. conf. Δ 451. — 67 πίπτε ACDEGHL.

---

A. c. 48 ἔνθα τε G. Hermannus ad Hymn. in Ven. 59; conf. Ζ 245, 240, Ψ 680. — 54 τινὲϲ γράφουϲι τοὶ δ' αὐτόθι θωρήϲϲοντο Schol. A. — 55 ὡπλίζοντο: ἀρίϲταρχοϲ διὰ τοῦ ο̅ ὁπλίζοντο Didymus, conf. H. T. 424. — 68 ἀμφιβεβήκει: γρ. ϲὺν τῷ ν̅ ἀμφιβεβήκειν, conf. H. T. 194 sq.

καὶ τότε δὴ χρύϲεια πατὴρ ἐτίταινε τάλαντα·
ἐν δ᾿ ἐτίθει δύο κῆρε τανηλεγέοϲ θανάτοιο
Τρώων θ᾿ ἱπποδάμων καὶ ᾿Αχαιῶν χαλκοχιτώνων,
ἕλκε δὲ μέϲϲα λαβών, ῥέπε δ᾿ αἴϲιμον ἦμαρ ᾿Αχαιῶν.
αἱ μὲν ᾿Αχαιῶν κῆρεϲ ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἑζέϲθην, Τρώων δὲ πρὸϲ οὐρανὸν εὐρὺν ἄερθεν.
αὐτὸϲ δ᾿ ἐξ ῎Ιδηϲ μεγάλ᾿ ἔκτυπε, δαιόμενον δὲ
ἧκε ϲέλαϲ μετὰ λαὸν ᾿Αχαιῶν· οἳ δὲ ἰδόντεϲ
θάμβηϲαν, καὶ πάνταϲ ὑπὸ χλωρὸν δέοϲ εἷλεν.
    ἔνθ᾿ οὔτ᾿ ᾿Ιδομενεὺϲ τλῆ μίμνειν οὔτ᾿ ᾿Αγαμέμνων,
οὔτε δύ᾿ Αἴαντεϲ μενέτην, θεράποντεϲ ῎Αρηοϲ·
Νέϲτωρ οἶοϲ ἔμιμνε Γερήνιοϲ, οὖροϲ ᾿Αχαιῶν,
οὔ τι ἑκών, ἀλλ᾿ ἵπποϲ ἐτείρετο, τὸν βάλεν ἰῷ
δῖοϲ ᾿Αλέξανδροϲ, ῾Ελένηϲ πόϲιϲ ἠυκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχεϲ ἵππων
κρανίῳ ἐμπεφύαϲι, μάλιϲτα δὲ καίριόν ἐϲτιν.
ἀλγήϲαϲ δ᾿ ἀνέπαλτο, βέλοϲ δ᾿ εἰϲ ἐγκέφαλον δῦ,
ϲὺν δ᾿ ἵππουϲ ἐτάραξε κυλινδόμενοϲ περὶ χαλκῷ.
ὄφρ᾿ ὁ γέρων ἵπποιο παρηορίαϲ ἀπέταμνε
φαϲγάνῳ ἀΐϲϲων, τόφρ᾿ ῞Εκτοροϲ ὠκέεϲ ἵπποι
ἦλθον ἀν᾿ ἰωχμὸν θραϲὺν ἡνίοχον φορέοντεϲ,
῞Εκτορα. καί νύ κεν ἔνθ᾿ ὁ γέρων ἀπὸ θυμὸν ὄλεϲϲεν,
εἰ μὴ ἄρ᾿ ὀξὺ νόηϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ·

---

V. L. 69 καὶ τότε δή: αὐτὸϲ δὲ Euseb. Praep. Evang. XIII, 13, 59. — 70 ἐν δὲ τίθει A. ἔνθ᾿ ἐτίθει L. τανηλεγέοϲ A. — 71 τρῴων L. — 72 μέϲα G. — 73 πουλυβοτείρηι A. πολυβοτείρῃ D. — 74 τρῴων L. — 76 οἳ δὲ CD. — 77 ὑπο ACDH. εἷλεν: ᾕρει L. ἐν ἄλλῳ δέοϲ ᾕιρει A. — 79 οὐδὲ δύ᾿ D. οὔτ᾿ αἴαντε δύω C. οὐδ᾿ αἴαντε μενέτην Mor. αἴαντε Vrat. A. — 80 δ᾿ οἶοϲ GLS. „ante οἶοϲ deest δ᾿ in Mosc. 1. binis Vindob.“ Heyne. — 83 κακκορυφὴν CDEGL. κὰκκοφυφὴν H. ὅθί τε H. ἵνα τε Aristoteles περὶ ζώων γενέϲεωϲ V, 5. τε omitt. C 1. man. ἐϲτι D. — 86 ϲυνδ᾿ C. περι A. — 87 παρηορέαϲ L. παρηορῆαϲ G. παρῃορίαϲ Eust. 700, 40; 702, 58. Cram. Epim. 406, 22. Et. Gud. 521, 35. ἀπέταμνε ACEL Et. Gud. 521, 35. ἀπέταμνεν Cram. Epim. 406, 22: ἀπέτεμνε DGHS Cant. Lips. Mor. Vrat. b. c. A. Mosc. 3. Cram. Epim. 177, 8. ἀπέτεμνεν Schol. Π 474. — 89 φέροντεϲ G. — 90 ἀπο DG. — 91 ἄρ DGL. ἀρ A.

---

A. c. 73, 74 ἀθετοῦνται Aristonicus. — 74 ἑζέϲθην: ἐν ἐνίοιϲ διὰ τοῦ ε ἕζεϲθεν Schol. A. τὸ δὲ ἑζέϲθην ἀντὶ τοῦ ἕζεϲθεν, ὡϲ ἄερθεν. ὅμοιον δέ ἐϲτι τῷ „μιάνθην αἵματι μηροί“ (Δ 146) Schol. BL. — 81 ἐτείρετο: ἔν τιϲι τῶν ὑπομνημάτων ἐδάμνατο Didymus.

ϲμερδαλέον δ᾽ ἐβόηϲεν ἐποτρύνων Ὀδυϲῆα·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυϲϲεῦ,
πῇ φεύγειϲ μετὰ νῶτα βαλὼν κακὸϲ ὣϲ ἐν ὁμίλῳ;
μή τίϲ τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.
ἀλλὰ μέν᾽, ὄφρα γέροντοϲ ἀπώϲομεν ἄγριον ἄνδρα.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἐϲάκουϲε πολύτλαϲ δῖοϲ Ὀδυϲϲεύϲ,
ἀλλὰ παρήιξεν κοίλαϲ ἐπὶ νῆαϲ Ἀχαιῶν.
Τυδείδηϲ δ᾽ αὐτόϲ περ ἐὼν προμάχοιϲιν ἐμίχθη,
ϲτῆ δὲ πρόϲθ᾽ ἵππων Νηληιάδαο γέροντοϲ,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὦ γέρον, ἦ μάλα δή ϲε νέοι τείρουϲι μαχηταί,
ϲὴ δὲ βίη λέλυται, χαλεπὸν δέ ϲε γῆραϲ ὀπάζει,
ἠπεδανὸϲ δέ νύ τοι θεράπων, βραδέεϲ δέ τοι ἵπποι.
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήϲεο, ὄφρα ἴδηαι
οἷοι Τρώιοι ἵπποι, ἐπιϲτάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεϲθαι,
οὕϲ ποτ᾽ ἀπ᾽ Αἰνείαν ἑλόμην, μήϲτωρε φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι
Τρωϲὶν ἐφ᾽ ἱπποδάμοιϲ ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
εἴϲεται, ἦ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃϲιν.

---

V. L. 92 ἐβόηϲ᾽ ἐν L. ὀδυϲϲῆα DEG. — 94 πῇ AE 701, 48: ceteri πῆ. ποι L Eust. 1664, 10. Maxim. Tyr. Diss. XXI, 10. ὡϲ ADH. — 95 μή τϊϲ CDGHL. — 97 ὡϲ A. — 98 παρήϊξε DG. παρήιε E. — 99 Τυδείδηϲ δ᾽: δ᾽ omitt. Apollon. de Pron. 71 A; 80 B. Et. Mg. 172, 57. αὐτόϲ περ ἐὼν: αὐτὸϲ πονέων Schol. Theocr. XI, 12. — 100 νηληϊάδεω G. — 101 προϲηῦδα D. — 103 ϲή τε H. ὀπάζει: ἱκάνει HS Cant. Townl. Vrat. b. Mosc. 1. ἐν ἄλλῳ γῆραϲ ἱκάνει A. — 106 τρῷοι H. — 108 αἰνείαο D, ο 2. man. αἰνείου H. μήϲτωρε ACDGH Mor. Townl. Lips. Mosc. 1. Schol. Ξ 45: μήϲτωρα ELS Plato Lach. 191 B diserte. οἱ δὲ γράψαντεϲ μήϲτωρε φόβοιο πάνυ ϲφάλλονται τοῦ ὀρθοῦ Eust. 702, 24. — 109 κομείτων EL Cram.
ην ει ων
Epim. 227, 24; 397, 32. κομίτων G. κομείτων A. κομ||ίτην C. κομείτην DH Vrat. b. Mosc. 1. prim. man. Cram. Epim. 397, 30. νῶϊ libri fere omnes cum Apoll. de Pron. 117 C; 118 A. Et. Mg. 416, 23. Cram. Epim. 398, 31: νῶϊν G. νῶιν L. — 110 τρῳϲὶν L. ἱπποδάμοιϲ ACH Mor. Vrat. a. b. Mosc. 1. ἱπποδά̈μοιϲιν DES Draco de Metr. 52, 7 diserte. ἱπποδάμοιϲϊ θύνομεν G. ἱπποδάμοιϲιν θείνομεν L. — 111 ἦ Townl. Schol. Ε 886. Eust. 62, 33. $\overset{ει}{η}$ A: εἰ CDEGHLS Eust. 1046, 18.

---

A. c. 103 οὕτωϲ ἀρίϲταρχοϲ ὀπάζει, ὁ δὲ ἰξίων ἐπείγει Didymus, cf. ad Δ 321. — 108 ἀθετεῖται Aristonicus. Aristarchus μήϲτωρε, conf. ad Ε 272. τὸ δὲ μήϲτωρε τινὲϲ μήϲτωρα ἐπὶ τοῦ Αἰνείου Schol. V. — 109 ἀρίϲταρχοϲ κομείτων Didymus. τώδε Herodianus, παροξυτόνωϲ.

ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε Γερήνιοϲ ἱππότα Νέϲτωρ.
Νεϲτορέαϲ μὲν ἔπειθ' ἵππουϲ θεράποντε κομείτην,
ἴφθιμοϲ Ϲθένελόϲ τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.
τὼ δ' εἰϲ ἀμφοτέρω Διομήδεοϲ ἅρματα βήτην·
Νέϲτωρ δ' ἐν χείρεϲϲι λάβ' ἡνία ϲιγαλόεντα,
μάϲτιξεν δ' ἵππουϲ· τάχα δ' Ἕκτοροϲ ἄγχι γένοντο.
τοῦ δ' ἰθὺϲ μεμαῶτοϲ ἀκόντιϲε Τυδέοϲ υἱόϲ.
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου Θηβαίου, Ἠνιοπῆα,
ἵππων ἡνί' ἔχοντα βάλε ϲτῆθοϲ παρὰ μαζόν.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώηϲαν δέ οἱ ἵπποι
ὠκύποδεϲ· τοῦ δ' αὖθι λύθη ψυχή τε μένοϲ τε.
Ἕκτορα δ' αἰνὸν ἄχοϲ πύκαϲε φρέναϲ ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴαϲε καὶ ἀχνύμενόϲ περ ἑταίρου
κεῖϲθαι, ὃ δ' ἡνίοχον μέθεπε θραϲύν. οὐδ' ἄρ' ἔτι δὴν
ἵππω δευέϲθην ϲημάντοροϲ· αἶψα γὰρ εὗρεν
Ἰφιτίδην Ἀρχεπτόλεμον θραϲύν, ὅν ῥα τόθ' ἵππων
ὠκυπόδων ἐπέβηϲε, δίδου δέ οἱ ἡνία χερϲίν.
ἔνθά κε λοιγὸϲ ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κε ϲήκαϲθεν κατὰ Ἴλιον ἠύτε ἄρνεϲ,
εἰ μὴ ἄρ' ὀξὺ νόηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε.
βροντήϲαϲ δ' ἄρα δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόϲθ' ἵππων Διομήδεοϲ ἧκε χαμᾶζε·

---

V. L. 113 κομίτην CG. — 114 ἴφθιμοϲ AD: ceteri ἴφθιμοι, conf. Ψ 511. — 116 χερϲὶ DG. ϲιγαλόεντα CDEGL: φοινικόεντα AHS Cant. Harl. Vrat. b. c. Mosc. 3. Schol. Π 159. ἐν ἄλλῳ ϲιγαλόεντα A. γράφεται φοινικόεντα Schol. apud Cram. An. Par. III, 33, 6; conf. 137. — 117 μάϲτιξε G. φαίνϊξεν δ' ἵππουϲ H. — 119 ἀφάμαρτε D. ὃ δ' D. ὅδ' CG. — 120 ὑπεργαθύμου G. — 121 ϲτήθεοϲ L. — 122 ἐξοχέων D. — 123 omitt. in textu DH, qui habent in marg. man. recent. scriptum. αὖτ' ἐλύθη Mosc. 1. — 124 πύκαϲεν DH. — 126 κεῖϲθ' Bekk. Anecd. 835, 13 diserte. ὃ δ' D 1. man. ὅδ' CD 2. man. GHL. ἂρ D 1. man. ἀρ A. — 128 ὃν ῥὰ DL. — 129 δίδου δ' ὅγε ἡνία L. — 130 ἔνθά κε CDHL. ἐνθά κε A Et. Gud. 602, 5. — 131 ἠΰτέ γ' ἄρνεϲ S Cant. — 132 ἂρ DG. ἀρ A. — 133 ἀφῆκεν D. — 134 καδδὲ ACDGHL. χαμᾶζε ADE: χαμάζε CGHL.

---

A. c. 113 τὸ δὲ κομείτην Ἀρίϲταρχοϲ μὲν κομείτων, Ζηνόδοτοϲ δὲ κομείτην Schol. V. pertinet ad 109. — 128 Ἀρχεπτόλεμον: Ἐραϲιπτόλεμον Zenodotus, sed 312 Ἀρχεπτόλεμον, ubi vid. Schol. — 131 ἔν τιϲι τῶν παλαιῶν φέρονται δύο ϲτίχοι „Τρῶεϲ ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον χαλκῷ δηωθέντα (Cod. δηϊόωντα), δάμαϲϲε δέ μιν Διομήδηϲ" Schol. V.

δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ' ἵππω δείcαντε καταπτήτην ὑπ' ὄχεcφι.
Νέcτορα δ' ἐκ χειρῶν φύγον ἡνία cιγαλόεντα·
δεῖcε δ' ὅ γ' ἐν θυμῷ, Διομήδεα δὲ προcέειπε·
Τυδείδη, ἄγε δὴ αὖτε φόβον δ' ἔχε μώνυχαc ἵππουc.
ἦ οὐ γιγνώcκειc ὅ τοι ἐκ Διὸc οὐχ ἕπετ' ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδηc Ζεὺc κῦδοc ὀπάζει,
cήμερον· ὕcτερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλῃcι,
δώcει· ἀνὴρ δέ κεν οὔ τι Διὸc νόον εἰρύccαιτο,
οὐδὲ μάλ' ἴφθιμοc, ἐπεὶ ἦ πολὺ φέρτερόc ἐcτι.
τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸc Διομήδηc·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπεc·
ἀλλὰ τόδ' αἰνὸν ἄχοc κραδίην καὶ θυμὸν ἱκάνει·
Ἕκτωρ γάρ ποτε φήcει ἐνὶ Τρώεcc' ἀγορεύων·
Τυδείδηc ὑπ' ἐμεῖο φοβεύμενοc ἵκετο νῆαc.
ὥc ποτ' ἀπειλήcει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοc ἱππότα Νέcτωρ·
ὤ μοι, Τυδέοc υἱὲ δαΐφρονοc, οἷον ἔειπεc.
εἴ περ γάρ c' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήcει,
ἀλλ' οὐ πείcονται Τρῶεc καὶ Δαρδανίωνεc
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀcπιcτάων,
τάων ἐν κονίῃcι βάλεc θαλεροὺc παρακοίταc.
ὣc ἄρα φωνήcαc φύγαδ' ἔτραπε μώνυχαc ἵππουc
αὖτιc ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶέc τε καὶ Ἕκτωρ

---

V. L. 135 θεοῖο L. — 136 καταπλήτην L. ὄχεcφι ACDEG. — 137 φύγον CGHLS Cant. Harl. Townl. Mor. Barocc. Lips. Vrat. A. Mosc. 3. φύγον (ε superscr.) A. φύγεν DE. cιγαλόεντα A post ras. φοινικόεντα ἢ cιγαλόεντα Eust. 703, 26, conf. 116. — 138 ὄγε θυμῶι D. προcέειπε CDG. — 139 * δὴ αὖτε: libri δ' αὖτε. — 140 ἦ: ἢ CDE. γινώcκειc ACDEGHL. ὅ τοι: ὅτι CDGHL. — 142 δ' αὖτε D. ἐθέλῃcι ACEGH. αἴκε θέλῃcι D. — 143 εἰρύcαιτο GH Et. Mg. 304, 14. — 144 ἐπεὶ ἡ D. ἐπειὴ A. ceteri ἐπειὴ. ἐcτι ACDG. ἐcτὶν L. — 146 κατα A. ἔειπαc G Mor. Barocc. ἔειπαc (εc superscr.) L. — 147 τόδ': τόγ' G Mor. Barocc. — 148 γάρ: δή E. ἐνι A. τρώεcc' L. τρώεccιν D. — 149 τυδείδηc δ' D. ὑπ' ἐμοῖο E. — 150 τοτέ D. — 152 ὤμοι ACEGH. ἔειπαc CH 1. man. — 153 ἕκτωρ τε H. γε omitt. L. — 154 τρῷεc L. — 157 φύγαδε, τράπε A. φύγαδ' ἔτρεπε L Et. Mg. 801, 38. ceteri cum Bekk. An. 1229 φύγαδ' ἔτραπε. — 158 αὖθιc C. ἀνιωχμὸν A. ἐπι A. τρῷεc L.

---

A. c. 137 φύγον (ε superscr.): ἀρίcταρχοc φύγον, ἄλλοι δὲ φύγεν, ἐν ἄλλῳ δὲ τὸ φοινικόεντα Didymus. — 139 Zenodotus ἄγε νῶϊ φόβονδε. — 157 οὕτωc διὰ τοῦ $\bar{α}$ τράπε αἱ ἀριcτάρχου Didymus.

ἠχῇ θεϲπεϲίῃ βέλεα ϲτονόεντα χέοντο.
τῷ δ' ἐπὶ μακρὸν ἄυϲε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
Τυδείδη, περὶ μέν ϲε τίον Δαναοὶ ταχύπωλοι
ἕδρῃ τε κρέαϲίν τε ἰδὲ πλείοιϲ δεπάεϲϲι·
νῦν δέ ϲ' ἀτιμήϲουϲι· γυναικὸϲ ἄρ' ἀντὶ τέτυξο.
ἔῤῥε κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντοϲ ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήϲεαι, οὐδὲ γυναῖκαϲ
ἄξειϲ ἐν νήεϲϲι· πάροϲ τοι δαίμονα δώϲω.
ὣϲ φάτο, Τυδείδηϲ δὲ διάνδιχα μερμήριξεν,
ἵππουϲ τε ϲτρέψαι καὶ ἐναντίβιον μαχέϲαϲθαι.
τρὶϲ μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
τρὶϲ δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺϲ
ϲῆμα τιθεὶϲ Τρώεϲϲι, μάχηϲ ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεϲϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ·
γιγνώϲκω δ' ὅτι μοι πρόφρων κατένευϲε Κρονίων
νίκην καὶ μέγα κῦδοϲ, ἀτὰρ Δαναοῖϲί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ' οὐδενόϲωρα· τὰ δ' οὐ μένοϲ ἁμὸν ἐρύξει·

V. ʟ. 160 ἐπι A. μέγα κορυθαιόλοϲ E. κορυθαιόλοϲ A. — 161 περὶ ACD: πέρι EGHL. — 162 ἔδρηι D. κρέαϲίν τε ἰδὲ ACDEHL. τ' ἠδὲ G. δεπάεϲϲι ACDEHL. — 163 ἆρ DL. ἀρ A. γὰρ G. ἄντι τέτυξο DH. ἀντ' ἐτέτυξο AG Lips. ἀντετέτυξο CEL Et. Mg. 388, 10. Eust. 1261, 64. ἀντιτέτυξο Mosc. 1. — 166 πάροϲ γάρ τοι G. — 167 φᾶτο D. μερμήριζεν LS. μερμήριζε Cant. Mor. — 168 ἵππουϲ τὲ C. τε omitt. L. τρέψαι D. καὶ ἀντῖβϊον H. — 169 μερμήριζε S. κατα bis A. — 170 ἆρ DE. ἀρ A. ἰδέων G. γρ. καὶ ἐπ' ἰδαίων A. μητιέτα L. — 171 τρῴεϲϲι L. — 172 τρῴεϲϲιν L. — 173 τρῷεϲ L. — 174 ἀνέρεϲ ἐϲτὲ CHL. — 175 γιγνώϲκω L: γινώϲκω ACDEGH. — 177 τάδε: τάγε Barocc. μηχανόωντο AC 2. man. D 1. man. GHS: μηχανόωνται C 1. man. D 2. man. Townl. 1. man. μηχανοωνται° L. — 178 ἀβλῆχρ' CL. ἀβληχρ" A. ἀβληχρὰ E. ἀμβληχρ' G. ἄβληχρ' Vrat. b. οὐδενόϲωρα A. οὐδὲ νόϲωρα G. ἁμὸν ACE Apoll. de Pron. 142 A. Apoll. Lex. 2, 22. alii ἀμὸν. ἐρύξοι L.

A. c. 163 ἀρίϲταρχοϲ αν̄ τοῦ τέτυξο (sic) Didymus. διὰ τοῦ ῑ εἶχον αἱ ἐκδόϲειϲ (h. e. Ἀριϲτάρχου) ἀντιτέτυξο. ὁ δὲ Ἡρωδιανὸϲ διὰ τοῦ ε̄ ἐξέθετο Schol. BCL (Cod. C omitt. ἀντιτέτυξο). alii ἄντι τέτυξο, quibus obloquitur Herodianus. quid Aristarchus scripserit, ἀντὶ τέτυξο an ἀντιτέτυξο, non patet. — 164—166 ἀθετοῦνται Aristonicus. τούτουϲ καὶ ἀριϲτοφάνηϲ ἠθέτηκεν Didymus. — 166 δαίμονα δώϲω: ἐν τῇ Ζηνοδότου πότμον ἐφήϲω Didymus. — 168 ὅτι ὑποτάϲϲουϲιν „ἢ μήτε ϲτρέψαι, μήτ' ἀντίβιον μαχέϲαϲθαι Aristonicus. — 177 οἳ Aristarchus: οἵ Dionysius Sidonius. — 178 ἀβλήχρ': ἄβληχρ' Heraclides Milesius, conf. Eust. 705, 60. ἁμὸν, conf. ad **Z 414.**

ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ᾽ ὅτε κεν δὴ νηυςὶν ἔπι γλαφυρῇςι γένωμαι,
μνημοςύνη τις ἔπειτα πυρὸς δηίοιο γενέςθω,
ὡς πυρὶ νῆας ἐνιπρήςω, κτείνω δὲ καὶ αὐτούς
[Ἀργείους παρὰ νηυςὶν ἀτυζομένους ὑπὸ καπνοῦ].
ὣς εἰπὼν ἵπποιςιν ἐκέκλετο φώνηςέν τε·
Ξάνθέ τε καὶ ςὺ Πόδαργε, καὶ Αἴθων Λάμπέ τε δῖε,
νῦν μοι τὴν κομιδὴν ἀπιτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
ὑμῖν πὰρ προτέροιςι μελίφρονα πυρὸν ἔθηκεν
οἶνόν τ᾽ ἐγκεράςαςα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόςις εὔχομαι εἶναι.
ἀλλ᾽ ἐφομαρτεῖτον καὶ ςπεύδετον, ὄφρα λάβωμεν
ἀςπίδα Νεςτορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶςαν χρυςείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
αὐτὰρ ἀπ᾽ ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιςτος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ νηῶν ἐπιβηςέμεν ὠκειάων.
ὣς ἔφατ᾽ εὐχόμενος, νεμέςηςε δὲ πότνια Ἥρη,
ςείςατο δ᾽ εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,
καί ῥα Ποςειδάωνα, μέγαν θεόν, ἀντίον ηὔδα·

V. L. 179 δὲ: δὴ G ex corr. — 180 ἐπὶ CDG. — 181 δηΐου G. γενέςθω: γένηται Townl. — 182 ἐμπρήςω C. — 183 omitt. ACDHL Townl. Harl. Lips.: habent EGH in marg. 2. man. S cum aliis. καπνοῦ: καπνῷ S Cant. Mor. Vrat. a. c. A. Mosc. 1. 3. περὶ καπνῷ ἤγουν ὑπὸ καπνοῦ E 705, 41. — 185 ξάνθέ τε ACD. ξάνθε τὲ H. λάμπέ τε AC Bekk. Anecd. 1143. — 186 ἀποτίνετε G. — 188 ἡμῖν L. παρ ACD. — 189 ἀνώγοι AD: ἀνώγει CEGHL Barocc. Cant. man. sec. Vrat. b. — 190 ὅς πέρ οἱ AE Apollon. de Synt. 126, 24. ὅςπερ οἳ D. ὅςπερ οἶ L. ὅςτίς οἱ C. — 191 ἐφομαρτῆτον L. αἵ κε λάβωμεν H. — 192 νεςτορίην GL. ἵκει: ἥκει G Vrat. A. Mosc. 3. ἥκει (ῖ above) L. — 193 χρυςίην G. ἔμμεναι GH 1. man. τὲ καὶ C. — 194 ᾤμοιϊν C. ὤμοιςιν L. — 197 αὐτονυχὶ A. αὐτονυχὶ GHL Townl. Vrat. b. Mosc. 1. a pr. man. αὐτονυχεὶ CDES. — 198 ὡς A. — 199 εἰνι A. ἐνὶ Schol. A 528. — 200 καὶ ῥὰ ποςειδάονα D. ηὖδα D.

A. c. 185 ἀθετεῖται Aristonicus, vid. Schol. Τ 400, Ψ 295. — 189 καὶ παρ᾽ ἀριςτοφάνει ἀθετεῖται Didymus. in Cod. A est obelus adpictus. ἠθετοῦντο οἱ ςτίχοι παρά τινων Eust. 707, 23. — 191 Aristarchus ἐφαμαρτεῖτον? conf. Schol. Μ 412, Ψ 414. ὄφρα: οὕτως ἀρίςταρχος, ἄλλοι δὲ αἴκε λάβωμεν Didymus. — 197 αὐτονυχεί: ἄλλοι δὲ διὰ τοῦ ῑ γράφουςιν Schol. L. τὸ δὲ αὐτονυχεί ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου διὰ τοῦ ῑ γράφεται, ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν Eust. 708, 2.

ὢ πόποι ἐννοϲίγαι' εὐρυϲθενέϲ, οὐδέ νυ ϲοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεϲὶ θυμόϲ.
οἳ δέ τοι εἰϲ Ἑλίκην τε καὶ Αἰγὰϲ δῶρ' ἀνάγουϲι
πολλά τε καὶ χαρίεντα· ϲὺ δέ ϲφιϲι βούλεο νίκην.
εἴ περ γάρ κ' ἐθέλοιμεν, ὅϲοι Δαναοῖϲιν ἀρωγοί,
Τρῶαϲ ἀπώϲαϲθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν',
αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενοϲ οἶοϲ ἐν Ἴδῃ.
τὴν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη κρείων ἐνοϲίχθων·
Ἥρη ἀπτοεπέϲ, ποῖον τὸν μῦθον ἔειπεϲ.
οὐκ ἂν ἐγώ γ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεϲθαι
ἡμέαϲ τοὺϲ ἄλλουϲ, ἐπεὶ ἦ πολὺ φέρτερόϲ ἐϲτιν.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον·
τῶν δ', ὅϲον ἐκ νηῶν ἀπὸ πύργου τάφροϲ ἔεργε,
πλῆθεν ὁμῶϲ ἵππων τε καὶ ἀνδρῶν ἀϲπιϲτάων
εἰλομένων· εἶλει δὲ θοῷ ἀτάλαντοϲ Ἄρηι
Ἕκτωρ Πριαμίδηϲ, ὅτε οἱ Ζεὺϲ κῦδοϲ ἔδωκε.
καί νύ κ' ἐνέπρηϲεν πυρὶ κηλέῳ νῆαϲ ἐίϲαϲ,
εἰ μὴ ἐπὶ φρεϲὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη
αὐτῷ ποιπνύϲαντι θοῶϲ ὀτρῦναι Ἀχαιούϲ·
βῆ δ' ἰέναι παρά τε κλιϲίαϲ καὶ νῆαϲ Ἀχαιῶν
πορφύρεον μέγα φᾶροϲ ἔχων ἐν χειρὶ παχείῃ,

---

V. l. 201 ὤ πόποι A. εἰνοϲίγαι' G. ϲοί $\overset{\text{περ}}{\text{γε}}$ H. — 203 οἳ AGL. δέ τε εἰϲ G. ἀνάγουϲι ACEGH Pausanias VII, 25, 12. — 205 κε θέλοιμεν S. κ' ἐθέλημεν L. — 206 τρῷαϲ L. ζῆν' EL Schol. N 453. $\overset{\text{α}}{\text{ζῆν'}}$ G. ζῆνα HS. ζῆ ACD. — 207 αὐτοῦ: ν'· αὐτοῦ CD. $\overset{\text{α}}{\text{ν'}}$· αὐτοῦ A. — 208 τήνδε GL. μοχθήϲαϲ S. — 209 ἀπτοεπέϲ A. ἔειπαϲ GH 1. man. S Mor. Barocc. — 210 ἔγωγ' libri: ἐγὼν G Mor. ἐθέλημι L. — 211 ἐπειὴ AE. ἐπεὶ ἢ D. πολυφέρτατοϲ DS. φέρτατοϲ L. — 212 ὡϲ A. οἳ μὲν C. — 213 ἔεργε ACDEGHL. — 214 πλῆϲθεν C. — 215 εἰλομένων· εἴλει EG. — 216 ὅτέ οἱ CGL. ἔδωκε ACGH. — 217 κ' ἐνέπρηϲεν S Cant. Harl. Lips. Townl. Vrat. b. ἐνέπρηϲεν ἂν E. κ' ἐνέπρηϲε C. κεν ἔπρηϲεν AHL. κεν ἔπρηϲε DG. — 218 ἔπι D. — 220 omitt. L. — 221 φάροϲ DGH.

---

A. c. 206, 207 ζῆ — ν'· αὐτοῦ Aristarchus et Nicanor, conf. Didymum et Aristonicum ad Ω 331, H. U. 165. Ζῆν G. Hermannus Element. doctr. metr. § 329, p. 110 (4. edit.). — 207 ἔνθα κάθοιτ' ἀκαχήμενοϲ Zenodotus. — 209 ἀπτοεπὲϲ Aristarchus: alii ἁπτοεπέϲ, conf. Et. Mg. 133, 43. — 213 διχῶϲ ἀρίϲταρχοϲ καὶ ἔεργε καὶ ἔρυκε Didymus. Ζηνόδοτοϲ δὲ γράφει τῶν δ' ὅϲον ἐκ νηῶν ἀπὸ πύργου τάφροϲ ἔεργεν Schol. A. ὅτι ἔν τιϲι γράφεται ἀπὸ τάφρου πύργοϲ ἔεργεν Schol. A. — 217 κ' ἐνέπρηϲεν, non κεν ἔπρηϲεν, scribendum esse testantur Θ 182, 235, Ι 242, Μ 198, Ν 319, Ξ 47, Ο 417, 507, 702, Χ 374.

ϲτῆ δ' ἐπ' Ὀδυϲϲῆοϲ μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ' ἐν μεϲϲάτῳ ἔϲκε, γεγωνέμεν ἀμφοτέρωϲε·
[ἠμὲν ἐπ' Αἴαντοϲ κλιϲίαϲ Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆοϲ, τοί ῥ' ἔϲχατα νῆαϲ ἐΐϲαϲ
εἴρυϲαν ἠνορέῃ πίϲυνοι καὶ κάρτεϊ χειρῶν·]
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·
αἰδὼϲ Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδοϲ ἀγητοί·
πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριϲτοι,
ἅϲ, ὁπότ' ἐν Λήμνῳ, κενεαυχέεϲ ἠγοράαϲθε,
ἔϲθοντεϲ κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
πίνοντεϲ κρητῆραϲ ἐπιϲτεφέαϲ οἴνοιο,
Τρώων ἄνθ' ἑκατόν τε διηκοϲίων τε ἕκαϲτοϲ
ϲτήϲεϲθ' ἐν πολέμῳ· νῦν δ' οὐδ' ἑνὸϲ ἄξιοί εἰμεν
Ἕκτοροϲ, ὃϲ τάχα νῆαϲ ἐνιπρήϲει πυρὶ κηλέῳ.
Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων βαϲιλήων
τῇδ' ἄτῃ ἄαϲαϲ καί μιν μέγα κῦδοϲ ἀπηύραϲ;
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηὶ πολυκλήιδι παρελθέμεν ἐνθάδε ἔρρων·

---

V. L. 222 μεγακήτεϊ A. — 223 μεϲϲοτάτῳ L. — 224—226 omitt. ACDGL Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. Mosc. 1. — 224 κλιϲίηϲ S. — 227 ἤϋϲε G Schol. B 408. Et. Mg. 269, 13. — 229 πῆ AE Schol. A 225. Eust. 1198, 12. κενεαυχέαϲ Eust. 1198, 13. κενεαυχέεϲ A. ἠγοράαϲθε A: ἐν ἄλλῳ εὐχετάαϲθε A. — 231 ὀρθοκραιράων A. ὀρθοκεράων G post ras. — 233 τρῴων L. ἀνθ' CDEL Et. Mg. 111, 29. Apoll. Lex. 31, 10. τε post ἑκατὸν omitt. G. — 234 δ' omitt. A. οὐδ' ἑνὸϲ EH: οὐδενὸϲ A Ambros. CDGLS Townl. Vrat. a. b. Mosc. 3. ἄξιοι εἰμὲν GL. ἠμὲν C post ras. — 237 ἄϲαϲ H Lips. Vrat. b. ἆϲᾰϲ A. ΆϹΑϹ Ambr. ἄτηι ἄ αϲαϲ D, ἅ man. rec. ἄαϲαϲ CEGL. ἀπηῦραϲ E. — 238 δή ποτε φημὶ ACDG. γάρ ποτε φημὶ H. — 239 πολυκληῗδι G. ἐνθάδ' HL.

---

A. c. 228 ἐλέγχεα: ἐλεγχέεϲ Aristarchus, conf. Didym. ad Ε 787. idem Aristarchus Ε 787 διχῶs εἶδοϲ ἄριϲτοι et εἶδοϲ ἀγητοί. — 231 (in Cod. A obelo notatus) περιττὸϲ ὁ ϲτίχοϲ Aristonicus, conf. Ariston. ad Υ 84 et Athenaeum II, 39 ἐπεϲημήνατο ὁ γραμματικὸϲ Ἀρίϲταρχοϲ περιγράφειν τὸν ϲτίχον ὃϲ ἀπὸ κρεωφαγίαϲ αὐχεῖν ποιεῖ τοὺϲ Ἕλληναϲ. „ἔϲθοντεϲ κρέα“ καὶ ἑξῆϲ, ὃν δὴ ϲτίχον ὁ Ἀρίϲταρχοϲ περιγράφων ἀθετεῖ Eust. 1198, 15. — 233 ἄνθ': τὸ πλῆρεϲ ἄντα, ὡϲ καὶ τῷ Ἡρωδιανῷ ἀρέϲκει, οὐχὶ δὲ ἀντί, καθὼϲ Ἀριϲτάρχῳ ἔδοξεν Schol. BL. Ἀρίϲταρχοϲ ἀναγινώϲκει „Τρώων ἀνθ' ἑκατόν“ Apoll. Lex. 31, 10, conf. Et. Mg. 111, 29. Cram. An. Ox. II, 466, 18. — 235 ἠθέτητο δὲ καὶ παρὰ Ἀριϲτοφάνει Didymus. ἧττον ἄν φηϲιν Ἀρίϲταρχοϲ ὀνειδιϲτικὸν εἶναι, εἴπερ οὕτωϲ ἐγέγραπτο „Ἕκτοροϲ, ᾧ δὴ κῦδοϲ Ὀλύμπιοϲ αὐτὸϲ ὀπάζει.“ — 237 ἆϲαϲ dedi ex libris optimis, conf. λ 61 ἆϲε, Τ 95 ἄϲατο.

ἀλλ' ἐπὶ πᾶϲι βοῶν δημὸν καὶ μηρί' ἔκηα,
ἱέμενοϲ Τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλὰ Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ·
αὐτοὺϲ δή περ ἔαϲον ὑπεκφυγέειν καὶ ἀλύξαι,
μὴ δ' οὕτω Τρώεϲϲιν ἔα δάμναϲθαι Ἀχαιούϲ.
ὣϲ φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
νεῦϲε δέ οἱ λαὸν ϲῶν ἔμμεναι οὐδ' ἀπολέϲθαι.
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
νεβρὸν ἔχοντ' ὀνύχεϲϲι, τέκοϲ ἐλάφοιο ταχείηϲ·
πὰρ δὲ Διὸϲ βωμῷ περικαλλέι κάββαλε νεβρόν,
ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεϲκον Ἀχαιοί.
οἳ δ' ὡϲ οὖν εἴδονθ' ὅ τ' ἄρ' ἐκ Διὸϲ ἤλυθεν ὄρνιϲ,
μᾶλλον ἐπὶ Τρώεϲϲι θόρον, μνήϲαντο δὲ χάρμηϲ.
ἔνθ' οὔ τιϲ πρότεροϲ Δαναῶν, πολλῶν περ' ἐόντων,
εὔξατο Τυδείδαο πάροϲ ϲχέμεν ὠκέαϲ ἵππουϲ
τάφρου τ' ἐξελάϲαι καὶ ἐναντίβιον μαχέϲαϲθαι,
ἀλλὰ πολὺ πρῶτοϲ Τρώων ἕλεν ἄνδρα κορυϲτήν,
Φραδμονίδην Ἀγέλαον. ὃ μὲν φύγαδ' ἔτραπεν ἵππουϲ·
τῷ δὲ μεταϲτρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲεν.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβηϲε δὲ τεύχε' ἐπ' αὐτῷ.

---

V. L. 240 ἔκηα CDEH 1. man. ἔκηον A. ἔκηον H ex corr. ἔκηον L. ЄΚΑΙΟΝ Ambros. — 241 ἵέμενοϲ AH 1. man. ἱέμενοϲ CDGH 2. man. L. — 242 τόδέ περ μοι G. ἐπικρήηνον L. ἐπικρήιηινον C. ἐπικρήϊνον G. — 243 δέ περ G. hic versus in G Mor. Barocc. post 244 est collocatus. — 244 omitt. Abrosianus. μὴ δ' ACDGHL. τρώεϲϲιν L. — 245 ώϲ A. τόνδε D. ὁ πατὴρ G Mor. Barocc. Vrat. a. ὀλοφύρετο CHLS Vrat. b. 2. man. Vrat. A. ὀλοφύρετο A. δάκρυ χέοντα G: ceteri δακρυχέοντα. — 246 ϲόον A Ambr. CDEHLS. ϲῶον G Mor. ἔμμεναι DGH. ἀπολέϲθαι libri omnes. — 247 πετεεινῶν GL 1. man. Mor. Barocc. — 249 παρ AD. κάμβαλε CGS. ἐν ἄλλῳ θήκατο νεβρὸν A. — 251 οἳ δ' D. οἵδ' CGL. εἴδονθ' AC DEHL: εἶδον θ' S Cant. Harl. Townl. Mor. Barocc. Vrat. b. εἶδον G. ΙΔΟΝΘ' Ambros. ὅτ' A. ἂρ AEGL. — 252 τρώεϲϲι L. μνήϲαντό δε A. — 254 τυδείδεω C. ϲχέμεν: ἐχέμεν D 2. man. E. — 255 τάφρον G Mor. τ' omitt. G. καὶ ἀντῖβϊον H. — 256 τρώων L. — 257 φραδμονίδην S. φραγμονίδην Vrat. c. ὃ μὲν C. ἔτραπεν A. — 258 μεταϲτραφθέντι L Mor. μεταϲτραφέντι S. δόρι L. — 260 ἐπαυτῶι A. ἐν ἄλλῳ ὑπερώηϲαν δὲ οἱ ἵπποι A.

---

A. c. 240 δημὸν Ptolem. Ascalonita cum Aristarcho. — 246 ἀρίϲταρχοϲ οὐδ' ἀπολεῖϲθαι Didymus. — 251 εἴδονθ', conf. Γ 154.

τὸν δὲ μετ' Ἀτρεῖδαι, Ἀγαμέμνων καὶ Μενέλαος,
τοῖϲι δ' ἐπ' Αἴαντεϲ, θοῦριν ἐπιεμένοι ἀλκήν,
τοῖϲι δ' ἐπ' Ἰδομενεὺϲ καὶ ὀπάων Ἰδομενῆοϲ,
Μηριόνηϲ, ἀτάλαντοϲ Ἐνυαλίῳ ἀνδρεϊφόντῃ,
τοῖϲι δ' ἐπ' Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ.
Τεῦκροϲ δ' εἴνατοϲ ἦλθε παλίντονα τόξα τιταίνων,
ϲτῆ δ' ἄρ' ὑπ' Αἴαντοϲ ϲάκεϊ Τελαμωνιάδαο.
ἔνθ' Αἴαϲ μὲν ὑπεξέφερεν ϲάκοϲ· αὐτὰρ ὅ γ' ἥρωϲ
παπτήναϲ, ἐπεὶ ἄρ τιν' ὀιϲτεύϲαϲ ἐν ὁμίλῳ
βεβλήκοι, ὃ μὲν αὖθι πεϲὼν ἀπὸ θυμὸν ὄλεϲϲεν,
αὐτὰρ ὃ αὖτιϲ ἰὼν πάιϲ ὣϲ ὑπὸ μητέρα δύϲκεν
εἰϲ Αἴανθ'· ὃ δέ μιν ϲάκεϊ κρύπταϲκε φαεινῷ.
ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκροϲ ἀμύμων;
Ὀρϲίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ' Ὀφελέϲτην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.
[πάνταϲ ἐπαϲϲυτέρουϲ πέλαϲε χθονὶ πουλυβοτείρῃ.]
τὸν δὲ ἰδὼν γήθηϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγαϲ·
ϲτῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸϲ μῦθον ἔειπε·

V. l. 261 τόνδε DL. μετ'' A. μέτ' EG. — 262 ἔπ' EGH. θοῦροι G Mor. — 263 ἔπ' EGH. — 264 ἀνδρειφόντηι A. ἀνδριφόντῃ DGH. — 265 ἔπ' GH. εὐαίμονοϲ A. — 266 παλίντονα A. — 267 δ' ἀρ ὑπ' DEGL. δ' ἄρ' ἐπ' H. δὲ παρ' A et γρ. ϲτῆ δ' ἀρ ὑπ' αἴαντοϲ. — 268 ὑπεξέφερε DE. — 269 παπτήιναϲ C. ἐπὶ ἄρ τινα G. — 270 βεβλήκοι CHS: βεβλήκει ADEGL. ὃ μὲν C. ἀπο CDL. ὄλεϲϲεν ACDGLS. ὤλεϲεν E. ὄλεϲκεν H. — 271 ὃ ACDGHL. αὖθιϲ C πάϊϲ ACDEHL. ὡϲ ὑπο A. — 272 ὅδε G. — 273 τρῴων L. — 274 ὅρμενον CG. ὁρμενον A. ὀφελέτην G. ἠδὲ φολέϲτην H. — 275 χρόμιόν CDGL. — 276 πολυαιμονίδην ἀμοπάονα A. ἀμοπάονα DG Mor. Townl. ἀμοπάονα CE 712, 53 H 1. man. L. ἄμ' ὀπάονα H 2. man. Apoll. Lex. 121, 29. οἱ γράφοντεϲ ἄμ' ὀπάονα ἐν δυϲὶ μέρεϲι λόγου ϲφάλλονται τῆϲ ὀρθότητοϲ Eust. 712, 54. — 277 omitt. AC DGL Mor. Harl. Townl. Vrat. b. Mosc. 1. prim. man.: habent HS cum aliis. — 278 τόνδε G. — 279 ἀπὸ CDEGHL. ἀπο A. τρῴων L. — 280 ἔειπε ACGH.

A. c. 270 ἀρίϲταρχοϲ βεβλήκοι Didymus. ὄλεϲϲεν, conf. Δ 516, P 733, T 317, qui loci ostendunt, non opus esse forma iterativa ὄλεϲκεν, quam Bekkerus induxit. — 271 πάιϲ, conf. Ω 259, H. U. 97. — 276 Πολυαἰμονίδην Ἀμοπάονα καὶ Μελάνἰππον: ψιλωτέον πάντα, ἵνα κύρια γένηται (cf. H. T. 416 sq.). παραιτητέον δὲ τοὺϲ διαλύονταϲ τὸ Ἀμοπάονα Herodianus. idem τὸ Ἀμοπάονα ἐν ἑνὶ μέρει λόγου ἀναγνωϲτέον· κύριον γάρ.

Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
πατρί τε σῷ Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ·
τὸν καὶ τηλόθ' ἐόντα ἐυκλείης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐξερέω ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώῃ Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
Ἰλίου ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον,
πρώτῳ τοι μετ' ἐμὲ πρεσβήιον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.
τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
Ἀτρείδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστι,
παύομαι, ἀλλ' ἐξ οὗ προτὶ Ἴλιον ὠσάμεθ' αὐτούς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀιστούς,
πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηιθόων αἰζηῶν·
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.
ἦ ῥα, καὶ ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὁ δ' ἀμύμονα Γοργυθίωνα,
υἱὸν ἐὺν Πριάμοιο, κατὰ στῆθος βάλεν ἰῷ·

---

V. L. 282 βάλ' D. κέν τοι C. φόος G. — 283 ὅ, σ' ἔτρεφε AC. ὅς ἔτρεφε DEGHL Mor. — 284 κομίσατο G. ἐνι AD. — 285 ἐόντ' L. εὐκλείης DEGL. — 286 ἐγὼν EH. ὃ καὶ G Mor. Barocc. ἔσται: ἐστι H post ras. — 287 αἴ κεν μοι DGH. δώῃ H. δώη L. δῴη ACDEGS. Ζεύς τ' ACDHL Barocc. Harl. Ζεὺς GS. — 288 ἰλίου ἐκπέρσαι G Mor. εὐκτίμενον G. — 289 μετεμὲ A. μετ' ἐμεῦ Apoll. Lex. 136, 28. ἐν χειρὶ θείω D. — 290 ἵππω Townl. ὄχεσφι D. — 292 προσέφη G. — 294 οὐ μέν μοι ALS Cant. Townl. πάρεστι ACDEGH. — 295 παύσομαι Vrat. b. man. sec. παύομαι ἢ παύσομαι Eust. 713, 54. προτὶ ACDGHL: ποτὶ S. — 296 ἐκ τοῦ: αἰεὶ S in marg. Cant. — 297 προέηκα τανυγλώχινας A. — 298 ἀρηιθόων A. αἰζηῶν H. — 299 καὶ τόνδ' οὐ Suidas I, 1, 943, 4. λυσιτῆρα D. λυσσητῆρα ἢ λωβητῆρα Eust. 714, 7. — 300 ῥὰ CDGL. ἀπαὶ νευρῆσφιν G. — 301 δὲ ἵετο D. — 302 ἀφάμαρτεν G. ὃ δ' D. ὅδ' CGL.

---

A. c. 284 παρὰ Ζηνοδότῳ οὐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ Ἀριστοφάνει Didymus, conf. Schol. V ad M 371. — 290 οἱ περὶ Ζηνόδοτον καὶ ἀριστοφάνην ἵππω Didymus. — 296 δεδεγμένος Aristarchus: Herodianus δεδεχμένος.

τόν ῥ' ἐξ Αἰcύμηθεν ὀπυιομένη τέκε μήτηρ,
καλὴ Καcτιάνειρα, δέμαc εἰκυῖα θεῇcι.
μήκων δ' ὣc ἑτέρωcε κάρη βάλεν, ἥ τ' ἐνὶ κήπῳ,
καρπῷ βριθομένη νοτίῃcί τε εἰαρινῇcιν·
ὣc ἑτέρωc' ἤμυcε κάρη πήληκι βαρυνθέν.
Τεῦκροc δ' ἄλλον ὀιcτὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτοροc ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμόc.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέcφηλεν γὰρ Ἀπόλλων·
ἀλλ' Ἀρχεπτόλεμον, θραcὺν Ἕκτοροc ἡνιοχῆα,
ἱέμενον πόλεμον δὲ βάλε cτῆθοc παρὰ μαζόν·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώηcαν δέ οἱ ἵπποι
ὠκύποδεc· τοῦ δ' αὖθι λύθη ψυχή τε μένοc τε.
Ἕκτορα δ' αἰνὸν ἄχοc πύκαcε φρέναc ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴαcε καὶ ἀχνύμενόc περ ἑταίρου,
Κεβριόνην δ' ἐκέλευcεν ἀδελφεὸν ἐγγὺc ἐόντα
ἵππων ἡνί' ἑλεῖν· ὃ δ' ἄρ' οὐκ ἀπίθηcεν ἀκούcαc.
αὐτὸc δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντοc
cμερδαλέα ἰάχων· ὃ δὲ χερμάδιον λάβε χειρί,
βῆ δ' ἰθὺc Τεύκρου, βαλέειν δέ ἑ θυμὸc ἀνώγει.
ἤ τοι ὃ μὲν φαρέτρηc ἐξείλετο πικρὸν ὀιcτόν,
θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαίολοc Ἕκτωρ
αὐερύοντα παρ' ὦμον, ὅθι κληῒc ἀποέργει
αὐχένα τε cτῆθόc τε, μάλιcτα δὲ καίριόν ἐcτι,

---

V. l. 304 ἐξαιcύμηθεν A. ὀπυομένη DG. ὀπηομένη L. — 305 οἰκυῖα G. θεῇcι ACDH Apoll. Lex. 63, 30. καλὴ Καccιέπεια θεοῖc δέμαc ἐοικυῖα Athenaeus XIV, 632, qui laudat hunc versum ut μείουρον. — 306 ὣc ACDEH: alii ὥc. κάρην G. ἐνι A. — 306, 307 omitt. L. — 308 ὥc A. ἤμυccε L ex corr. — 309 ἀπο A. νευρῆφιν CE. νευρῆcφιν G. — 311 παρέcφηλε E 714, 20 G. — 313 ϊέμενον A. ἵέμενον H. νιccόμενον D et man. rec. γρ. καὶ ἱέμενον. πόλεμον δὲ A. — 318 ἐκέλευcεν: ἐκάλεcεν Schol. Λ 521. — 319 ὅδ' CGHL. ἆρ DGL. ἀρ A. — 321 ὃ δὲ C. — 322 τεύκροιο D. ἄνωγεν E. ἀνῶγεν D. — 323 ὃ μὲν C. — 324 κορυθαιόλοc A. κορυθαιόλοc E. — 325 αὐερύοντα A. αὖ ἐρύοντα C et supra man. rec. γρ. DEGLS αὖ ἐρύοντα. C ὦμον. — 326 ἔcτι ACDH. ἐcτὶ G.

---

A. c. 304 ἀρίcταρχοc αἰcύμνηθεν, καὶ ἡ ζηνοδότου καὶ ἡ ἀριcτοφάνουc Didymus. Αἰcύνηθεν (sic) διὰ τοῦ ν καὶ αἱ Ζηνοδότου καὶ ἡ Ἀριcτοφάνουc. ἐξ Αἰcύμηθεν ἴcωc τῆc Νιρέωc Cύμηc (B 671). οἱ δὲ αἰcύμνηθεν, ἀπὸ βαcιλικοῦ γένουc Schol. V. — 311 διχῶc ἀλλ' ὅγε τοῦ μὲν ἅμαρτε καὶ ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτε Didymus. — 325 οὕτωc χωρὶc τοῦ ῑ ἀποέργει Schol. V.

τῇ ῥ' ἐπὶ οἷ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
ῥῆξε δέ οἱ νευρήν· νάρκηϲε δὲ χεὶρ ἐπὶ καρπῷ,
ϲτῆ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεϲε χειρόϲ.
Αἴαϲ δ' οὐκ ἀμέληϲε καϲιγνήτοιο πεϲόντοϲ,
ἀλλὰ θέων περίβη καί οἱ ϲάκοϲ ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρεϲ ἑταῖροι,
Μηκιϲτεύϲ, Ἐχίοιο πάιϲ, καὶ δῖοϲ Ἀλάϲτωρ,
νῆαϲ ἔπι γλαφυρὰϲ φερέτην βαρέα ϲτενάχοντα.
ἂψ δ' αὖτιϲ Τρώεϲϲιν Ὀλύμπιοϲ ἐν μένοϲ ὦρϲεν·
οἳ δ' ἰθὺϲ τάφροιο βαθείηϲ ὦϲαν Ἀχαιούϲ·
Ἕκτωρ δ' ἐν πρώτοιϲι κίε ϲθένεϊ βλεμεαίνων.
ὡϲ δ' ὅτε τίϲ τε κύων ϲυὸϲ ἀγρίου ἠὲ λέοντοϲ
ἅπτηται κατόπιϲθε, ποϲὶν ταχέεϲϲι διώκων,
ἰϲχία τε γλουτούϲ τε, ἑλιϲϲόμενόν τε δοκεύει,
ὣϲ Ἕκτωρ ὤπαζε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
αἰὲν ἀποκτείνων τὸν ὀπίϲτατον· οἳ δὲ φέβοντο.
αὐτὰρ ἐπεὶ διά τε ϲκόλοπαϲ καὶ τάφρον ἔβηϲαν
φεύγοντεϲ, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερϲίν,
οἳ μὲν δὴ παρὰ νηυϲὶν ἐρητύοντο μένοντεϲ,
ἀλλήλοιϲί τε κεκλόμενοι καὶ πᾶϲι θεοῖϲι
χεῖραϲ ἀνίϲχοντεϲ μεγάλ' εὐχετόωντο ἕκαϲτοϲ·
Ἕκτωρ δ' ἀμφιπεριϲτρώφα καλλίτριχαϲ ἵππουϲ
Γοργοῦϲ ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηοϲ.
τοὺϲ δὲ ἰδοῦϲ' ἐλέηϲε θεὰ λευκώλενοϲ Ἥρη,

---

V. L. 327 ἐπι A. ἐπὶ οἷ D. ἐπί οἱ G. βάλε DEG. ὀκρυόεντι GS. — 328 χεὶρ ACDE. χεῖρ' GHL. ἐπι A. — 331 ἀμφεκάλυψε ACEGH. — 333 αἰχίοιο D. παῖϲ H. — 334 ἐπι AD. ἐπὶ CEGHL. — 335 αὖθιϲ C. τρῷεϲϲιν L. ἓν A. ἔμμενοϲ D. — 336 οἳ δ' D. οἵδ' CGL. — 339 ποϲὶ D. διώκων A Townl. πεποιθὼϲ CDEGHLS. γρ. πεποιθὼϲ A. — 340 ἑλιϲϲόμενον AC post ras. DHL. ἑλιϲϲόμενόϲ G Mor. Vrat. c. A. ἑλιϲϲόμενοϲ C 1. man.? δὲ δοκεύει Harl. — 341 ὡϲ A. ὄπαζε D. κάρη κομόωνταϲ AH: ceteri καρηκομόωνταϲ. — 342 οἳ δ' D. οἵδ' G. δὲ, φέβοντο C. δὲ φέβοντο AHLS Cant. Harl. Townl. Lips. Vrat. b. δ' ἐφέβοντο DEG. — 344 δάμον G. τρῴων L. ὑποχερϲὶ D. — 345 οἳ μὲν C. — 346 θεοῖϲι ACDGH. — 347 ἀνίϲχοντεϲ: ἀναϲχόμενοι Suidas II, 1, 725, 15. — 348 ἀμφιπεριϲτρόφα G. — 349 ἠὲ: ἠδὲ ACDEGHLS et Heynii libri. — 350 τούϲδε G. τούϲδ' D.

---

A. c. 328 χεὶρ Ptolemaeus Ascalonita: alii χεῖρ'. — 334 vid. Schol. N 423. — 340 οὕτω διὰ τοῦ ν ἑλιϲϲόμενον, τὸν γὰρ ὗν ἐπιϲτρεφόμενον ὑποτηρεῖ Didymus. — 349 ἀρίϲταρχοϲ γοργοῦϲ οἵματ' ἔχων Didymus. Γοργόνοϲ ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηοϲ Zenodotus. „Γοργοῦϲ ὄμματ' ἔχων" αἱ πλείουϲ τῶν δημωδῶν.

αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
ὢ πόποι αἰγιόχοιο Διὸϲ τέκοϲ, οὐκέτι νῶι
ὀλλυμένων Δαναῶν κεκαδηϲόμεθ' ὑϲτάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται
ἀνδρὸϲ ἑνὸϲ ῥιπῇ, ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶϲ
Ἕκτωρ Πριαμίδηϲ, καὶ δὴ κακὰ πολλὰ ἔοργε.
τὴν δ' αὖτε προϲέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
καὶ λίην οὗτόϲ γε μένοϲ θυμόν τ' ὀλέϲειε,
χερϲὶν ὑπ' Ἀργείων φθίμενοϲ ἐν πατρίδι γαίῃ·
ἀλλὰ πατὴρ οὑμὸϲ φρεϲὶ μαίνεται οὐκ ἀγαθῇϲι,
ϲχέτλιοϲ, αἰὲν ἀλιτρόϲ, ἐμῶν μενέων ἀπερωεύϲ·
οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκιϲ υἱὸν
τειρόμενον ϲώεϲκον ὑπ' Εὐρυϲθῆοϲ ἀέθλων.
ἦ τοι ὃ μὲν κλαίεϲκε πρὸϲ οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺϲ
τῷ ἐπαλεξήϲουϲαν ἀπ' οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε ᾔδε' ἐνὶ φρεϲὶ πευκαλίμηϲιν,
εὖτέ μιν εἰϲ Ἀίδαο πυλάρταο προὔπεμψεν
ἐξ ἐρέβευϲ ἄξοντα κύνα ϲτυγεροῦ Ἀίδαο,
οὐκ ἂν ὑπεξέφυγε Ϲτυγὸϲ ὕδατοϲ αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν ϲτυγέει, Θέτιδοϲ δ' ἐξήνυϲε βουλάϲ,
ἥ οἱ γούνατ' ἔκυϲϲε καὶ ἔλλαβε χειρὶ γενείου,
λιϲϲομένη τιμῆϲαι Ἀχιλλῆα πτολίπορθον.
ἔϲται μάν, ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.
ἀλλὰ ϲὺ μὲν νῦν νῶιν ἐπέντυε μώνυχαϲ ἵππουϲ,
ὄφρ' ἂν ἐγὼ καταδῦϲα Διὸϲ δόμον αἰγιόχοιο
τεύχεϲιν ἐϲ πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι,

---

V. l. 351 προϲηῦδα D. — 352 ὦ AD. — 353 δαναῶν: γρ. ἀργείων A. — 355 ὃ δὲ C. ἀνεκτῆ L. — 356 πολλὰ κακὰ GL. ἔοργε ACDGHL. — 358 οὕτῳϲ (ο above) H. μένοϲ καὶ θυμὸν G. ὀλέϲειε ACDH. — 360 ὁὐμὸϲ ACEG. οὐμὸϲ HL. ἀγαθῇϲι ACDEGH. — 361 ἀλιτρὸϲ C 1. man. — 362 οἵ οἱ H. μάλιϲτα πολλάκιϲ L. — 365 ἐξ οὐρανόθεν Apoll. de Synt. 117, 20. — 366 ᾔδη (α above) Pausanias VIII, 18, 3. ᾔδε' A. ἐνι A. — 367 προύπεμψεν AG. — 370 δέ με L. — 371 ἔλαβε DG. — 372 ἀχῖλῆα CD. — 373 ἔϲϲεται ἦμαρ ὅταν αὖτε G. ἔϲϲεται ἦμαρ ὅτ' αὖτε Mor. Barocc. ὅταν CL. ὅτε αὖτε Cant. — 374 omitt. H. μὲν οὖν G. νῦν omitt. C. ἐπέντυνε Vrat. c. — 375 καταδύϲα D. — 376 ἴδωμεν Vrat. b. Mosc. 1. ex corr. γρ. ἴδωμεν A. ἴδω G.

---

A. c. 355 ἀνεκτῶϲ Aristarchus. — 371, 372 ἀθετοῦνται δύο ϲτίχοι Aristonicus. οὐδὲ παρὰ Ζηνοδότῳ ἦϲαν Didymus.

ἢ νῶι Πριάμοιο πάϊς, κορυθαίολος Ἕκτωρ,
γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει,
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ' ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,

---

V. l. 377 νῶι: νῶϊν DH. κορυθαιόλος A. — 378 προφανέντε A Mosc. 1. ex corr. Mosc. 3. a pr. man. προφανεῖσα D 1. man. E 718, 61; 1115, 59. Cram. Epim. 373, 22. προφανεῖσα Vrat. A. γρ. προφανεῖσα A. προφανείσας CD 2. man. L Cant. Townl. man. rec. Barocc. Mor. προφανεισᾶν S. προφανεῖσαν Vrat. c. προφανησαι H. γρ. προφανήσαιν C man. rec. προφανήσαις G post ras. — 379 ἤ τις CD. ὅς τις καὶ τρῴων L. κορέσει G Mor. Barocc. Harl. — 380 ἐπι A. — 381 θεὰ γλαυκῶπις ἀθήνη H. — 382 ἣ μὲν CD. ἤντυεν Vrat. c. — 383 omitt. D in textu et Townl. 1. man. ἥρα H. — 385 ἐανὸν HL. — 387 ἡ δὲ C et man. rec. γρ. ἠδὲ, cf. ad Ε 736. — 388 θωρήσετο G. θωρήξατο Townl. — 390 δάμνηισι AD. — 391 τοῖσι τε D. ὀβριμοπάτρη A. ὀμβριμοπάτρη CG Mor. Barocc. Vrat. b. — 392 θοᾶς (?) Mor. ἐπεμαίετο EG. ἆρ CDGL. ἀρ A. ἄρ' omitt. E. — 393 μῦκον H. — 394 ταῖς G.

---

A. c. 377 νῶιν Zenodotus. — 378 Ἀρίσταρχος προφανέντε, ὡς πληγέντε κεραυνῷ (455) δυϊκῶς· ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων Didymus. προφανεῖσα δὲ γράφει Ἀρίσταρχος δυϊκῶς, ὁ δὲ Ἡρωδιανὸς προφανείσας βούλεται, συστέλλων Δωρικῶς τὸ ᾱ. lectio unica vera est προφανέντε, nam ut praetermittam digammum neglectum, neque a substantivis generis feminini formae dualis in ᾱ Homero sunt usitatae, neque usquam apud poetam ᾱς in accusativo plur. primae declinationis corripitur, ut apud Hesiodum, Pindarum, Theocritum. — 385—387 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. ἠθέτει δὲ καὶ Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν Didymus, conf. ad Ε 734. — 389 λάζετο: λάζυτο Ptolemaeus Oroandae. — 390, 391 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶς Ε 746, 747. — 390 δάμνησι Dionysius Sidonius: δάμνῃσι Aristarchus.

ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε, χώσατ' ἄρ' αἰνῶς,
Ἶριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν·
βάσκ' ἴθι Ἶρι ταχεῖα, πάλιν τρέπε, μὴ δ' ἔα ἄντην
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμον δέ.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωιν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·
ὄφρ' εἰδῇ γλαυκῶπις, ὅτ' ἂν ᾧ πατρὶ μάχηται.
Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττί κεν εἴπω.
ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον.
πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
ἀντομένη κατέρυκε, Διὸς δέ σφ' ἔννεπε μῦθον·
πῇ μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν.

---

V. l. 396 ῥὰ CDGL. κεντρηνεκέας A. — 397 εἶδε G. ἄρ DGL. ἀρ A. — 398 ὤτρϋνεν H. — 399 μὴ δ' ACGHL. — 400 πτόλεμον δέ A. πόλεμόνδε DE. πόλεμονδε G. — 401 τόδε καὶ G. ὡς καὶ AS Cant. γρ. τὸ δὲ καὶ τετελεσμένον ἔσται A. — 402 μὲν σφῶϊν EGL Eust. 641, 24. ἐφ' ἅρματος Et. Gud. 78, 39. — 403 κατα δ' L. κατὰ δ' Vrat. b. κατα θ' D. ἅρματ' EG. — 405 ἀπαλθήσεσθαι S. — 406 ὄφρα ἴδῃ Rhet. Gr. III, 204, 27. ὅταν CD Rhet. Gr. III, 204, 27; 223, 4. — 407 τόσσον G. — 408 ἐνικλᾷν G Zonar. Lex. 644. Cram. An. Ox. II, 363, 24. ὅ, τι G. ὅτι Cram. An. Ox. II, 363, 24. κεν εἴπω L: νοήσω ACDEGLS Et. Mg. 306, 49. Cram. An. Ox. II, 364, 24. Schol. Υ 370. — 409 ὡς A. ἔφατ': φάτο L. ὦρτο δ' G. ἴρις D. ἀελλόπος A. ἀελλόπους G. — 410 omitt. A in textu C 1. man. δ' ἐξ: δὲ κατ' ACDEGHLS. ἰδέων G. ἐπὶ: libri ἐς. — 411 πρώτῃσι DEH. πολυπτύχου A. — 412 δέ σφιν Townl. ἔνεπε G. — 413 πῇ AEH: ceteri πῆ. μαίματον D. σφῶϊ G. — 414 ἐᾶ D. ἀργείοισι D.

---

A. c. 402 μέν σφωιν Herodianus. conf. Jo. Alex. 24, 7. Apoll. de Pron. 116 C; 141 B; de Synt. 167, 19. — 405 ἀπαλθήσονται altera Aristarchi. — 406—408 asterisci: οὐκ ὀρθῶς 420—422. — 408 ἀρίσταρχος ὅττι κεν εἴπω Didymus. — 410 δ' ἐξ Aristarchus, conf. Aristonicum ad Λ 196 ὅτι νῦν γραπτέον κατ' Ἰδαίων ὀρέων. ὅταν δὲ ἀπὸ τῆς Ἴδης ἐπὶ τὸν Ὄλυμπον „βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον“ ὡς ἀπὸ ἴσου ἐπ' ἴσον.

ὧδε γὰρ ἠπείληϲε Κρόνου πάϊϲ, ἧ τελέει περ·
γυιώϲειν μὲν ϲφῶιν ὑφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ,
αὐτὰϲ δ' ἐκ δίφρου βαλέειν κατά θ' ἅρματα ἄξειν·
οὐδέ κεν ἐϲ δεκάτουϲ περιτελλομένουϲ ἐνιαυτοὺϲ
ἕλκε' ἀπαλθήϲεϲθον, ἅ κεν μάρπτῃϲι κεραυνόϲ·
ὄφρ' εἰδῇϲ γλαυκῶπι, ὅτ' ἂν ϲῷ πατρὶ μάχηαι.
Ἥρῃ δ' οὔ τι τόϲον νεμεϲίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττί κεν εἴπῃ.
ἀλλὰ ϲύ γ' αἰνοτάτη, κύον ἀδεέϲ, εἰ ἐτεόν γε
τολμήϲειϲ Διὸϲ ἄντα πελώριον ἔγχοϲ ἀεῖραι.
ἡ μὲν ἄρ' ὣϲ εἰποῦϲ' ἀπέβη πόδαϲ ὠκέα Ἶριϲ,
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸϲ μῦθον ἔειπεν·
ὢ πόποι, αἰγιόχοιο Διὸϲ τέκοϲ, οὐκέτ' ἐγώ γε
νῶι ἐῶ Διὸϲ ἄντα βροτῶν ἕνεκα πτολεμίζειν.
τῶν ἄλλοϲ μὲν ἀποφθίϲθω, ἄλλοϲ δὲ βιώτω,
ὅϲ κε τύχῃ· κεῖνοϲ δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῷ
Τρωϲί τε καὶ Δαναοῖϲι δικαζέτω, ὡϲ ἐπιεικέϲ.
ὣϲ ἄρα φωνήϲαϲα πάλιν τρέπε μώνυχαϲ ἵππουϲ.
τῇϲιν δ' Ὧραι μὲν λῦϲαν καλλίτριχαϲ ἵππουϲ·
καὶ τοὺϲ μὲν κατέδηϲαν ἐπ' ἀμβροϲίῃϲι κάπῃϲιν,
ἅρματα δ' ἔκλιναν πρὸϲ ἐνώπια παμφανόωντα·
αὐταὶ δὲ χρυϲέοιϲιν ἐπὶ κλιϲμοῖϲι καθῖζον

V. L. 415 omitt. Townl. et substituit versum 401. πάϊϲ Vrat. b. Mosc. 2: παῖϲ ACDGHL. ἧ: εἰ ACDEGHLS. post hunc G Mor. ὧδε γὰρ ἐξερέει τόδε καὶ τετελεϲμένον ἔϲται. — 416 γυιώϲει L Apoll. de Synt. 167, 16; sed idem de Pron. 24 A γυιώϲειν. — 417 δίφροιο L. κατα DL. ἅρματ' G. — 419 ἀπαλθήϲεϲθαι S Cant. — 420 γλαυκῶπι ACDGHLS Lips. Townl.: γλαυκῶπιϲ Mor. (?) Vrat. a. Mosc. 3. ὅταν CG. ϲῷ: ᾧ G Mor. — 422 εἴωθεν ἐνικλᾷν G. νοήϲῃ ADHS. νοήϲει CG Vrat. b. κεν εἴπῃ L. — 423 ἀλλὰ ϲοὶ L Vrat. b. ϲοί γ' S. κύων ἀδεὲϲ G. ἀδδεὲϲ ACDEHL. — 425 ἆρ DGL. ἀρ ὡϲ A. ἴριϲ D. — 426 προϲ CD. — 427 ὦ A. — 428 νῶϊν CHS Ven. B. νῶι τ' L. νῶ D. πολεμίζειν DE. — 429 ἀποφθείϲθω AE. βιῴτο Mor. — 431 τρῳϲὶ L. — 432 φωνήϲαϲα ἐπέτρεπε L. τράπε CG Barocc. Mor. — 433 τῇϲι G Lips. δ' omitt. D. — 434 ἀβροϲίῃϲι L. ἀμβροϲίοιϲι D. κάπῃϲι GH. — 435 ἔγκλιναν Rhet. Gr. III, 203, 30. προϲ-ενώπια AGL. προενώπια (?) Mor. — 436 κάθιζον ACDGL. καθίζοντο H.

A. c. 415 ἀρίϲταρχοϲ διὰ τοῦ η̅ ἧ τελέει περ Didymus. — 420—422 ἀθετοῦνται. asterisci: ὀρθῶϲ 406—408. γλαυκῶπι dedi ex libris melioribus, conf. ε 87 Ἑρμεία χρυϲόρραπι εἰλήλουθαϲ, H. T. 395. — 423, 424 ἀθετοῦνται Aristonicus. — 423 οὕτωϲ ϲύ διὰ τοῦ υ̅, τὸ δὲ ἀδεὲϲ δι' ἑνὸϲ δ̅ ὁ ἀρίϲταρχοϲ Didymus. ἀδδεὲϲ Nicias, conf. H. T. 178. — 428 οὕτωϲ νῶϊ χωρὶϲ τοῦ ν̅ Didymus. ὅτι τινὲϲ γρ. ϲὺν τῷ ν̅ κακῶϲ Aristonicus. an Zenodotus? conf. 377.

μίγδ᾽ ἄλλοιϲι θεοῖϲι, φίλον τετιημέναι ἦτορ.
Ζεὺϲ δὲ πατὴρ Ἴδηθεν εὔτροχον ἅρμα καὶ ἵππουϲ
Οὔλυμπον δὲ δίωκε, θεῶν δ᾽ ἐξίκετο θώκουϲ.
τῷ δὲ καὶ ἵππουϲ μὲν λῦϲε κλυτὸϲ ἐννοϲίγαιοϲ,
ἅρματα δ᾽ ἂμ βωμοῖϲι τίθει κατὰ λῖτα πετάϲ
αὐτὸϲ δὲ χρύϲειον ἐπὶ θρόνον εὐρύοπα Ζεὺϲ
ἕζετο, τῷ δ᾽ ὑπὸ ποϲϲὶ μέγαϲ πελεμίζετ᾽ Ὄλυμποϲ.
αἳ δ᾽ οἶαι Διὸϲ ἀμφὶϲ Ἀθηναίη τε καὶ Ἥρη
ἥϲθην, οὐδέ τί μιν προϲεφώνεον οὐδ᾽ ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗϲιν ἐνὶ φρεϲὶ φώνηϲέν τε·
τίφθ᾽ οὕτω τετίηϲθον Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦϲαι Τρῶαϲ, τοῖϲιν κότον αἰνὸν ἔθεϲθε.
πάντωϲ, οἷον ἐμόν γε μένοϲ καὶ χεῖρεϲ ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅϲοι θεοί εἰϲ᾽ ἐν Ὀλύμπῳ.
ϲφῶιν δὲ πρίν περ τρόμοϲ ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τ᾽ ἰδέειν πολέμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεϲμένον ἦεν·
οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ,
ἂψ ἐϲ Ὄλυμπον ἵκεϲθον, ἵν᾽ ἀθανάτων ἕδοϲ ἐϲτίν.

---

V. ι. 438 εὔτροχον DG. — 439 οὔλυμπον δὲ A. οὔλυμπόνδ᾽ ἐδίωκε CEG οὔλυμπον δ᾽ ἐδίωκε H. ἐξείκετο H. — 440 λῦϲεν AEHL. ἔλυϲε G. ἐνοϲίγαιοϲ G. — 441 ἀμβωμοῖϲι ACDEGL Et Mg. 217, 53. Et. Gud. 118, 15. Apoll. Lex. 53, 22. Cram. An. Par. IV, 8, 22. ἀνβωμοῖϲϊ H. ἅρμα δ᾽ ἅμα βωμοῖϲι Schol. Z 15. κατα ACDH. λῖνα L. πετάϲαϲ DEG Apoll. Lex. 53, 22. Et. Mg. 568, 2. — 442 χρύϲεον DL. ἐπι A. — 443 πολεμίζετ᾽ GL. — 444 αἴδ᾽ CDGL. τὲ καὶ C. — 445 οὐδέ τι ADGHL. μὶν G. — 446 ὃ ACDGHL. ἐνι A. — 448 μέν θην ACDEHLS Cant. Townl. μὲν δὴ G e glossa, conf. Eust. 722, 51 οὐ μέν θην ἤγουν οὐ μὲν δή. κάμετόν ACDEGHL Schol. N 620. ἔνι A: ἐνι D. ἐνὶ CEGHL. μάχην ἀνὰ κυδιάνειραν Eust. 1726, 26. — 449 τρῷαϲ L. τοῖϲι D. — 451 εἶϲ᾽ CDL. — 452 ϲφῶϊ G. ὑμῶν E. ἔλαβε G. — 453 τ᾽ ἰδέειν: τε ἰδεῖν E. — 454 ὧδε δὲ ἐξερέω H. τὸ δέ κεν: καί κεν L. τὸ δέ κεν τετελεϲμένον ἦεν AS Cant. τὸ δὲ καὶ τετελεϲμένον ἔϲται CD(τόδε)G(τόδε)H. καί κεν τετελεϲμένον ἔπλεν Townl. ἐν ἄλλῳ καί κεν τετελεϲμένον ἔπλεν A. — 456 ἐϲ omitt. G. ἵκεϲθε Cant. ἵκεϲθαι S, quod perinde est. ἐϲτί D.

---

A. c. 441 οὕτωϲ ἀρίϲταρχοϲ βωμοῖϲι. ἐν τοῖϲ διογένουϲ ἀμβώνεϲϲι Didymus. Chrysippus ἀμβωμοῖϲι, ὑφέν, Aristarchus ἂμ βωμοῖϲι, conf. Cram. An. Par. IV, 8, 22. Et. Mg 81, 15. H. T. 189. — 448 μέν θην: ἔϲτι δὲ καὶ ἑτεροίαϲ ἐκδόϲεωϲ γραφὴ ὑποδύϲκολοϲ καθ᾽ Ἡρακλείδην αὕτη· οὐ μέντον κάμετόν γε, ἀντὶ τοῦ οὐ μέντοι Eust. 722, 58. ἰϲτέον ὅτι τὸ „οὐ μὲν θὴν κάμετόν γε“ „οὐ μέν τον“ γράφουϲί τινεϲ Ἀργολικῶϲ τε καὶ Κρητικῶϲ Cram. An. Par. III, 42, 17. conf. Eust. 1726, 26. Osann. Quaest. Hom. IV, 20. κάμετόν: καμέτην Zenodotus. — 449 τοῖϲιν: ἀρίϲταρχοϲ τοῖον κότον, καὶ ἔχει τινὰ ἔμφαϲιν Didymus.

ὣϲ ἔφαθ', αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πληϲίαι αἵ γ' ἥϲθην, κακὰ δὲ Τρώεϲϲι μεδέϲθην.
ἤ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
ϲκυζομένη Διὶ πατρί, χόλοϲ δέ μιν ἄγριοϲ ᾕρει·
Ἥρῃ δ' οὐκ ἔχαδε ϲτῆθοϲ χόλον, ἀλλὰ προϲηύδα·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
εὖ νυ καὶ ἡμεῖϲ ἴδμεν, ὅ τοι ϲθένοϲ οὐκ ἀλαπαδνόν·
ἀλλ' ἔμπηϲ Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται.
[ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', εἰ ϲὺ κελεύειϲ·
βουλὴν δ' Ἀργείοιϲ ὑποθηϲόμεθ', ἥ τιϲ ὀνήϲει,
ὡϲ μὴ πάντεϲ ὄλωνται ὀδυϲϲαμένοιο τεοῖο.]
τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
ἠοῦϲ δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέληϲθα, βοῶπιϲ πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν ϲτρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύϲεται ὄβριμοϲ Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
ἤματι τῷ, ὅτ' ἂν οἳ μὲν ἐπὶ πρυμνῇϲι μάχωνται,
ϲτείνει ἐν αἰνοτάτῳ, περὶ Πατρόκλοιο θανόντοϲ.
ὣϲ γὰρ θέϲφατόν ἐϲτι· ϲέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένηϲ, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίηϲ καὶ πόντοιο, ἵν' Ἰαπετόϲ τε Κρόνοϲ τε
ἥμενοι οὔτ' αὐγῇϲ Ὑπερίονοϲ ἠελίοιο

---

V. l. 457 ὡϲ A. αἴδ' CDL. τὲ καὶ A. — 458 omitt. C 1. man. Lips. ἤϲθην D. τρώεϲϲι L. — 459 ἤτοι ἀκέουϲ' ἦν ἀθηναίη H. εἶπε ACEGH. — 461 οὐ κέχαδε Eust. 723, 46, sed 723, 39 οὐκ ἔχαδε, conf. Δ 24. προϲηῦδα D. — 463 ὅ τοι: ὅτι L. ἀλαπαδνόν: ἐπιεικτόν CDEGLS. γρ. οὐκ ἐπιεικτὸν A. — 465 post hunc G Barocc. ἀνδρὸϲ ἑνὸϲ ῥιπῇ· ὁ δὲ μαίνεται οὐκέτ' (G οὐκ) ἀνεκτῶϲ, qui legitur 355. — 466—468 omitt. ACD 1. man. ELS Lips. Townl. 1. man. Vrat. b.: habent D in marg. man. rec. GH. — 466 ὡϲ ϲὺ κελεύειϲ Harl. — 470 ἠοῦϲ μὲν δὴ καὶ G. — 471 κε θέληϲθα H. ἐν ἄλλῳ ἦν ἐθέληιϲθα A, conf. I 359. βοῶπιϲ: βοῶπι CS Lips. Townl. Vrat. b. non male. — 472 πολὺν C. — 473 ὄμβριμοϲ CDG Mor. Barocc. — 474 ὄρθαι AE Townl. Vrat. A. Et. Mg. 631, 5. Zonar. Lex. 1470. ὦρθαι CDGHS. ὄρϲαι L. — 475 ὅταν CDGHL. οἱ μὲν C. ἐπὶ: παρὰ D. πρύμνοιϲι S: ceteri πρύμνηϲι. — 476 περι A. θανόντοϲ ADGHL Barocc. Mor. Vrat. b. in marg. πεϲόντοϲ CS. γρ. πεϲόντοϲ A. — 477 ὡϲ A. — 478 ἵκοιαι G. — 480 αὐγαῖϲ ὑπερήονοϲ L.

---

A. c. 463—465 asterisci: κακῶϲ 32—34. — 470 ἠοῦϲ: ἄαϲ Zenodotus. — 475, 476 ἀθετοῦνται ϲτίχοι δύο Aristonicus.

τέρποντ᾽ οὔτ᾽ ἀνέμοιςι, βαθὺς δέ τε Τάρταρος ἀμφίς.
οὐδ᾽ ἢν ἔνθ᾽ ἀφίκηαι ἀλωμένη, οὐ ϲεῦ ἐγώ γε
ϲκυζομένης ἀλέγω, ἐπεὶ οὐ ϲέο κύντερον ἄλλο.
ὣς φάτο, τὸν δ᾽ οὔ τι προϲέφη λευκώλενος Ἥρη.
ἐν δ᾽ ἔπεϲ᾽ Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Τρωϲὶν μέν ῥ᾽ ἀέκουϲιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖϲ
ἀϲπαϲίη τρίλλιϲτος ἐπήλυθε νὺξ ἐρεβεννή.
Τρώων αὖτ᾽ ἀγορὴν ποιήϲατο φαίδιμος Ἕκτωρ,
νόϲφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
ἐξ ἵππων δ᾽ ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον,
τόν ῥ᾽ Ἕκτωρ ἀγόρευε διίφιλος· ἐν δ᾽ ἄρα χειρὶ
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύϲεος θέε πόρκης,
τῷ ὅ γ᾽ ἐρειϲάμενος ἔπεα Τρώεϲϲι μετηύδα.
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι·
νῦν ἐφάμην νῆάς τ᾽ ὀλέϲας καὶ πάντας Ἀχαιοὺϲ
ἂψ ἀπονοϲτήϲειν προτὶ Ἴλιον ἠνεμόεϲϲαν·
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐϲάωϲε μάλιϲτα
Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάϲϲης.
ἀλλ᾽ ἤ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ᾽ ἐφοπλιϲόμεϲθα· ἀτὰρ καλλίτριχας ἵππους

V. l. 481 βαθὺϲ: πολὺϲ CG. — 482 οὔ ϲευ CEH. οὔ ϲ᾽ D. οὔτ᾽ εὖ ἔγωγε L. — 484 ὡϲ A. — 485 ἐν δὲ πέϲ᾽ Schol. Ω 366. — 486 ἐπι A. — 487 τρωϲὶν L. τρωϲὶ DEG. μέν ῥ᾽: μὲν E. ἀέκουϲιν A. — 488 τρίλϊϲτος C. τρίλληϲτος D. τριφίλητος Schol. Theocr. XV, 86. ἐρεβενή DH. — 489 τρώων L. αὖτ᾽ GHL Townl.: δ᾽ αὖτ᾽ ACDES. — 390 ἔπι Apoll. de Synt. 308, 27: ἐπὶ ACDEGL. ἐνὶ H Vrat. c. — 492 δ᾽ omitt. E. — 493 ῥ᾽ omitt. G. διῒ φίλος ACDEGHL. — 494 εἶχ᾽ H. ἔχεν δεκάπηχυ Schol. B 67. ἑνδεκάπηχυ A. ἐνδεκάπηχυ DG. — 495 περι D. — 496 τρώεϲϲι μετηύδα ACG. πτερόεντα προϲηύδα HL. πτερόεντ᾽ ἀγόρευε DS Cant. Vrat. b A. γρ. ἔπεα πτερόεντ᾽ ἀγόρευε A. — 497 τρῷες L. ἠδ᾽ D. — 499 προτὶ ACDHL: ποτὶ EGS. — 503 δόρπά τ᾽ C. ἐφοπλιϲόμεϲθα ACDEHS Lips. Cant. Townl. Vrat. A. ἐφοπλιϲόμεθα Vrat. b. ἐφοπλιϲώμεθα G. ἐφοπλιϲόμεϲθ᾽ L. ἐφοπλιζόμεϲθ᾽ Vrat. c. ἀτὰρ ACDS Cant. Lips. Townl. Vrat. A. αὐτὰρ EGHL Mor.

A. c. 493—496 Ζηνόδοτος περιγράφει. ὁ δὲ Ἀρίϲταρχος οἰκειότερον ἐνταῦθα κεῖϲθαί λέγει Aristonicus. — 494 ἔχ᾽ ἑνδεκάπηχυ, conf. ad Z 319. — 501 ἐπὶ ῥηγμῖνι θαλάϲϲης; ἐπεὶ Διὸϲ ἐτράπετο φρήν Zenodotus, conf. Ariston. ad K 45. — 503 ἐφοπλιϲόμεϲθα: ὅτι Ζηνόδοτος γρ. ἐφοπλίζεϲθον. ϲυγχεῖ δὲ τὸ δυϊκόν Aristonicus. de hiatu conf. ad Δ 542.

λύcαθ' ὑπ' ἐξ ὀχέων, παρὰ δέ cφιcι βάλλετ' ἐδωδήν·
ἐκ πόλιοc δ' ἄξεcθε βόαc καὶ ἴφια μῆλα
καρπαλίμωc, οἶνον δὲ μελίφρονα οἰνίζεcθε,
cῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεcθε,
ὥc κεν παννύχιοι μέcφ' ἠοῦc ἠριγενείηc
καίωμεν πυρὰ πολλά, cέλαc δ' εἰc οὐρανὸν ἵκῃ,
μή πωc καὶ διὰ νύκτα κάρη κομόωντεc Ἀχαιοὶ
φεύγειν ὁρμήcωνται ἐπ' εὐρέα νῶτα θαλάccηc.
μὴ μὰν ἀcπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥc τιc τούτων γε βέλοc καὶ οἴκοθι πέccῃ,
βλήμενοc ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
νηὸc ἐπιθρῴcκων, ἵνα τιc cτυγέῃcι καὶ ἄλλοc
Τρωcὶν ἐφ' ἱπποδάμοιcι φέρειν πολύδακρυν ἄρηα.
κήρυκεc δ' ἀνὰ ἄcτυ διίφιλοι ἀγγελλόντων
παῖδαc πρωθήβαc πολιοκροτάφουc τε γέρονταc
λέξαcθαι περὶ ἄcτυ θεοδμήτων ἐπὶ πύργων.
θηλύτεραι δὲ γυναῖκεc ἐνὶ μεγάροιcιν ἑκάcτη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τιc ἔμπεδοc ἔcτω,
μὴ λόχοc εἰcέλθῃcι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔcτω Τρῶεc μεγαλήτορεc, ὡc ἀγορεύω·
μῦθοc δ', ὃc μὲν νῦν ὑγιήc, εἰρημένοc ἔcτω·
τὸν δ' ἠοῦc Τρώεccι μεθ' ἱπποδάμοιc ἀγορεύcω.

---

V. L. 504 λύcαcθ' Townl. ὑπ' ἐξ CDEGH. ἐξ L. ὑπ' ἐξοχέων A. — 505 πόλεωc G Barocc. ἄξεcθε L: ἄξαcθε ACDEH Schol. K 167. ἄξατε G. — 507 cῖτον δ' D Schol. K 167, ι 166. ἐπι A. — 509 ἥκει (οι supra) C. ἵκει Lips. ἥκῃ Schol. K 418. — 510 κάρη κομόωντεc AH: ceteri καρηκομόωντεc. — 511 ὁρμήcωνται ACDEGL: ὁρμήcονται S Cant. Mor. ὁρμήcωcϊν H. — 512 ἀcπουδεί Ambros. CDE bis LS Apoll. Lex. 45, 20. ἀcπουδῇ Suidas I, 1, 803, 9. ἐπι βαῖεν A. — 513 τούτων γε: τούτων τε Cram. Epim. 448, 33 et οἴκοθι πέμπει. ΠΕCCΗΙ Ambros. παίcῃ L. πέccῃι (ο supra) A. πέccοι Schol. Ξ 439. — 515 νηῶν H. ἐπιθρώcκων A Ambr. DEGH. γρ. ἐπιθρώcκων C man. rec. ἀποθρώcκων CL Cant. γρ. νηὸc ἀποθρώcκων A. ἀπὸ θρώcκων S. ἵνά L. ἵνα τῖc C. — 516 τρῳcὶν L. — 517 διῒ φίλοι ACDEGHL Cram. Epim. 397, 33. — 518 πρωθήβουc H Zonar. Lex. 426. ceteri πρωθήβαc cum Et. Mg. 228, 11. πολιοκροτάφουc A. — 519 περὶ Ambr. CDEGHLS. προτι A et γρ. περὶ ἄcτυ. — 520 ἐνὶμμεγαροιcῒν C. ἐνι A. — 523 τρῷεc L. — 524 μῦθον G ex corr. ὃc: ὡc L. νῦν μὲν Vrat. b. et in marg. γρ. μὲν νῦν. — 525 τρῴεccι L. ἀγορεύω G.

---

A. c. 513 τούτων: Παρμενίcκοc ἐν τῷ α΄ πρὸc Κράτητα ὡc Ἀριcτάρχειον γραφὴν προφέρεται κείνων Didymus. πέccῃ: αἱ Ἀριcτοφάνουc πέccοι Didymus. — 524, 525 ἀθετοῦνται δύο cτίχοι Aristonicus.

εὔχομαι ἐλπόμενος Διί τ᾽ ἄλλοιςίν τε θεοῖςιν
ἐξελάαν ἐνθένδε κύνας κηρεςςιφορήτους,
οὓς κῆρες φορέουςι μελαινάων ἐπὶ νηῶν.
ἀλλ᾽ ἤ τοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
πρῶι δ᾽ ὑπηοῖοι cὺν τεύχεςι θωρηχθέντες
νηυςὶν ἔπι γλαφυρῇςιν ἐγείρομεν ὀξὺν ἄρηα.
εἴςομαι, ἤ κέ μ᾽ ὁ Τυδείδης κρατερὸς Διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώςεται, ἤ κεν ἐγὼ τὸν
χαλκῷ δῃώςας ἔναρα βροτόεντα φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείςεται, εἴ κ᾽ ἐμὸν ἔγχος
μείνῃ ἐπερχόμενον· ἀλλ᾽ ἐν πρώτοιςιν, ὀίω,
κείςεται οὐτηθείς, πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι,
ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὣς
εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,
τιοίμην δ᾽ ὡς τίετ᾽ Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοιςιν.
ὣς Ἕκτωρ ἀγόρευ᾽, ἐπὶ δὲ Τρῶες κελάδηςαν·

---

V. ι. 526 ἔλπομαι εὐχόμενος L Schol. Θ 498, Ξ 45 (Aristonicus). Cram. An. Par. III, 45, 12. Pseudoplut. 132, 23. ἄλλοιςί DGH. θεοῖςι D. — 527 ἐνθάδε G. κηρεςςιφορήτους AC. κηρεςιφορήτους G. κήρεςςι φορητοὺς L. — 529 γρ. ἐπινύκτα A: φυλάξωμεν G. ἡμᾶς G. — 530 ὑπ᾽ ἠοῖοι DE Cram. Epim. 293, 31; 312, 12. Et. Gud. 411, 25. ὑπ᾽ ἠοῖο Cram. Epim. 158, 3. ὑπ᾽ ἠοίῃ Apoll. de Adv. 573, 8. ὑπ᾽ ἠοῖ οἱ A. ὑπ᾽ ἠοί C. ὑπ᾽ ἠοῖ GHL Vrat. b. c. A. Et. Mg. 607, 22; 692, 13. Et. Gud. 195, 42. cυν A. — 531 ἐπὶ ACDGHL. — 532 * ἤ κέ μ᾽: εἴ κέ μ᾽ AH. εἴ κε μ᾽ G Cant. εἴ κ᾽ ἔμ᾽ S. εἴ κε με τυδείδης L. αἴ κέ μ᾽ C Schol. Μ 118. Apoll. Lex. 62, 29. Bekk. Anecd. 1289. αἴ κε μ᾽ DE Zonar. Lex. 74. — 533 ἤ κεν: libri ἤ κεν. H εἴ κεν. G Mor. αἴ κεν. — 534 δηϊώςας HS Lips. Townl. φέρωμαι: ἐν ἄλλῳ φεροίμην A. — 535 αἴ κ᾽ DES. αἴ κεν G. εἴκ᾽ (α) A. — 536 ἀλλ᾽ ἐνὶ D. — 538 ἐςαύριον C. εἰ AH: αἲ CDEGLS. ὡς E. — 539 ἀγήρως AGHL Mor.: ἀγήραος CDES Eust. 750, 20. ἥματα D. — 540 δ᾽ omitt. D. — 541 ἦδε A: ceteri ἥδε. κακὰ G Mor. — 542 ὡς A. ὣς δ᾽ L. ἀγόρευεν L. ἐπι D. τρῷες L.

---

A. c. 526 οὕτως ἡ γραφὴ εὔχομαι ἐλπόμενος, οὐ τὸ ἐναντίον Didymus. ἔλπομαι εὐχόμενος Zenodotus. — 527 κηρεςςιφορήτους Aristarchus ςυνθέτως, ut παςιμέλουςα, ἐγχεςίμωροι. — 528 ἀθετεῖται Aristonicus. ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν Didymus. — 530 ὑπηοῖοι, conf. C 277, 303. χθιζὸν ὑπηοῖον δ 656. ςτίβη ὑπηοίη ρ 25. substantivum ἠοίη legitur δ 447. — 535—537 ὅτι ἢ τούτους δεῖ τοὺς τρεῖς ςτίχους μένειν, οἷς τὸ ἀντίςιγμα (ↄ) παράκειται, ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ ςτιγμαὶ (.) παράκεινται. ἐγκρίνει δὲ μᾶλλον Ἀρίςταρχος τοὺς δευτέρους, ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν Aristonicus. — 538 οὕτως διὰ τοῦ εἰ τὸ εἰ γὰρ ἐγὼν ὣς, καὶ τὸ ἀγήρως διὰ τοῦ ω Didymus, conf. H. T. 177.

οἱ δ' ἵππους μὲν λῦϲαν ὑπὸ ζυγοῦ ἱδρώονταϲ,
δῆϲαν δ' ἱμάντεϲϲι παρ' ἅρμαϲιν οἷϲιν ἕκαϲτοϲ·
ἐκ πόλιοϲ δ' ἄξοντο βόαϲ καὶ ἴφια μῆλα
καρπαλίμωϲ, οἶνον δὲ μελίφρονα οἰνίζοντο
cῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.
[ἕρδον δ' ἀθανάτοιϲι τεληέϲϲαϲ ἑκατόμβαϲ.]
κνίϲην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴϲω
[ἡδεῖαν· τῆϲ δ' οὔ τι θεοὶ μάκαρεϲ δατέοντο,
οὐδ' ἔθελον· μάλα γάρ ϲφιν ἀπήχθετο Ἴλιοϲ ἱρὴ
καὶ Πρίαμοϲ καὶ λαὸϲ ἐυμμελίω Πριάμοιο].
  οἱ δὲ μέγα φρονέοντεϲ ἐπὶ πτολέμοιο γεφύραϲ
εἵατο παννύχιοι, πυρὰ δέ ϲφιϲι καίετο πολλά.
ὡϲ δ' ὅτ' ἐν οὐρανῷ ἄϲτρα φαεινὴν ἀμφὶ ϲελήνην
φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμοϲ αἰθήρ·
ἔκ τ' ἔφανεν πᾶϲαι ϲκοπιαὶ καὶ πρώονεϲ ἄκροι
καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄϲπετοϲ αἰθήρ,
πάντα δέ τ' εἴδεται ἄϲτρα, γέγηθε δέ τε φρένα ποιμήν·
τόϲϲα μεϲηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάϲτῳ

---

V. l. 543 οἱ δ' D. οἵδ' CGL. λύϲαν D. ὑπὸ : ἀπὸ L. ζυγὸν H. — 545 ἄξαντο ACDEGHL Schol. I 88. — 547 ἐπι D. — 548 abest ab omnibus libris. — 549 κνίϲην AD 1. man.: κνίϲϲην CD 2. man. EGHL Schol. Φ 363. — 550—552 omittunt omnes. inseruit Barnesius cum v. 548. ex Platonis Alcib. II, 149 D. — 553 οἱ δὲ C. ἐπι: ἀνὰ Schol. I 88. γεφύραϲ ADGH Barocc. Mor. Schol. I 88: γεφύρῃ CLS. γρ. γεφύρῃ A. γεφύρῃ ἢ γεφύραιϲ Eust. 728, 62. γεφύρῃ ἢ καὶ κατὰ γραφὴν ἄλλην ἐπὶ γεφύραιϲ Eust. 729, 3. — 554 εἵατο H. παρὰ δέ ϲφιϲι καίετο πυρά GH. — 555 ὥϲ δ' G. ἀμφι A. — 556 ὅτ' ἔπλετο G. — 557 ἔφανεν ADG Cant. 1. man. Mor. Harl. Townl. 1. man.: ἔφανον CEH. — 557, 558 omitt. L. — 558 οὐρανόθε||| C post ras. ἂρ DEG. ἀρ A. — 559 δὲ εἴδεται G. γέγηθέ τε H. — 560 γρ. καὶ τοῖα μεϲηγὺ καὶ ὡϲ τὰ μεϲηγὺ A. μεϲϲηγὺ L. μεϲηγὺϲ G. — 561 τρῴων CL. — 562 ἂρ EGL. ἀρ A. δέ ἑ ἑκάϲτῳ H.

---

A. c. 543 λῦϲαν Aristarchus, conf. Didym. ad δ 39. — 555 τινὲϲ δέ, ὡϲ ἐν τοῖϲ Ἀπίωνοϲ καὶ Ἡροδώρου φέρεται, διχοτομήϲαντεϲ (τὴν ϲελήνην) ἐν τῷ φαεινὴν τὸ μὲν φάει παρώξυναν, τὸ δὲ νῆν περιέϲπαϲαν, εἰπόντεϲ τὴν τῷ „φάει νῆν“, ὅ ἐϲτι νέην, ἤγουν ἄρτι φωτίζεϲθαι ἀρξαμένην Eust. 729, 25. — 557, 558 ἀθετεῖται, καὶ ὁ ἑξῆϲ δὲ ϲυναθετεῖται αὐτῷ Aristonicus. οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριϲτοφάνηϲ Didymus. asterisci: ὀρθῶϲ Π 299, 300. de scriptura ἔφανεν conf. H. U. 288 sq. — 562 χίλι': μύρι' Zenodotus, conf. Schol. Θ 56.

εἵατο πεντήκοντα ϲέλαι πυρὸϲ αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραϲ,
ἑϲταότεϲ παρ' ὄχεϲφιν, ἐύθρονον ἠῶ μίμνον.

---

# ΙΛΙΑΔΟϹ Ι.

Ὣϲ οἱ μὲν Τρῶεϲ φυλακὰϲ ἔχον· αὐτὰρ Ἀχαιοὺϲ
θεϲπεϲίη ἔχε φύζα, φόβου κρυόεντοϲ ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντεϲ ἄριϲτοι.
ὡϲ δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
βορέηϲ καὶ Ζέφυροϲ, τώ τε Θρῄκηθεν ἄητον,
ἐλθόντ' ἐξαπίνηϲ· ἄμυδιϲ δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκοϲ ἔχευεν·
ὣϲ ἐδαΐζετο θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
Ἀτρείδηϲ δ' ἄχεϊ μεγάλῳ βεβολημένοϲ ἦτορ
φοίτα κηρύκεϲϲι λιγυφθόγγοιϲι κελεύων
κλήδην εἰϲ ἀγορὴν κικλήϲκειν ἄνδρα ἕκαϲτον,

---

V. ι. 563 εἵατο H. ϲέλαι A. ϲέλᾳ EGS Cant. Mor. Barocc. Lips. Vrat. A. ϲέλα CDL Harl. ϲέλαϲ H. — 564 ἵπποιϲι L. — 565 ἠῶ D.

---

A. c. 563 ϲέλαι: ϲέλαϊ δὲ γραπτέον, οὐ ϲέλαϲ Schol. BL. τὸ ἑκάϲτῳ ϲυναπτέον τῷ ϲέλαϊ, ἵν' ᾖ παρ' ἑκάϲτῳ ϲέλαϊ Cram. An. Par. III, 16, 34, conf. 172, 16. de scriptura ϲέλαι conf. H. T. 297.

---

V. ι. 1 Ὧϲ A. τρῷεϲ L. — 2 ΘΕϹΠΕϹΙΗΙ Ambros. — 3 βεβουλήατο S. — 4 ἄνεμοι libri. — 5 βορέηϲ A Ambros. CDEHL Strabo I, 28; 29. Apoll. Lex. 12, 1. Schol. Π 765. Schol. Theocr. VII, 111. Eust. 554, 46. Rhet. Gr. III, 100, 12; 202, 27: βορέαϲ G Barocc. Mor. Βορρᾶϲ Rhet. Gr. III, 211, 4. τε: τ' ἐκ Cram. Epim. 47, 3; 87, 28. — 7 πάρεξ C. παρεξ D. πάρεξον ἅλα H. ἔχευεν A Ambros. Townl. Cram. Epim. 379, 17. ἔχευε Strabo I, 53. Schol. μ 276: ἔχευαν CDEGHLS Heynii omnes praeter Townleianum. Et. Mg. 652, 47. Apoll. Lex. 165, 17. Schol. Ω 434, μ 443. — 8 ὡϲ A. ἐνι A. — 9 βεβολημένοϲ: βεβλημένοϲ GS.

---

A. c. 3 ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτοϲ οὕτωϲ Aristonicus, conf. 9. — 4 [ἡ] ἀριϲτοφάνειοϲ ἀνέμω δυϊκῶϲ Didymus. — 5 βορέηϲ primam in arsi producit, ut τό ῥα Π 228; τὰ περὶ Φ 352; ὃϲ ἔτληϲ Χ 236; τό οἱ Χ 307; διὰ Γ 357, Δ 135; ἐπεὶ Χ 379, Ψ 2. — 6 ἄμυδιϲ Aristarchus, Alexio, Ptolem. Ascalonita: ἅμυδιϲ Nicias, Pamphilus, conf. πάντ' ἄμυδιϲ Μ 385, μ 413; οἵ τ' ἄμυδιϲ Ν 336. — 7 παρὲξ: πάρεξ Tyrannio, conf. H. T. 333. ἔχευεν: διχῶϲ καὶ διὰ τοῦ $\overline{\alpha}$ Didymus.